$AB\Gamma\Delta$ B, AB, insertis $\Gamma\Delta$ m. 2 F, $A\Gamma\Delta B$ p. 17. $Z\Theta$] $ZH\Theta A$ p; in FV post Z et post Θ 1 litt. eras. $\delta\iota\acute{\eta}\chi\theta\omega$] $\delta\iota$- supra m. 2 F. 20. $\pi\circ\iota\epsilon\tilde{\iota}\nu$] PF; $\epsilon\tilde{\iota}\nu\alpha\iota$ Bp et post ras. 2 litt. V. $\tau\tilde{\omega}$] mg. m. 2 p. 24. $\grave{\epsilon}\sigma\tau\acute{\iota}$] comp. supra m. 1 V. $\grave{\alpha}\pi\acute{o}$] φ, seq. $\pi\acute{o}$ m. 1. EZ] in ras. F. 25. ΓZ, ZA] in ras. F. seq. $\grave{o}\rho\theta o\gamma\acute{\omega}\nu\iota o\nu$ φ, quod cum seq. $\mu\epsilon\tau\acute{\alpha}$ in mg. transit. $\mu\epsilon\tau\acute{\alpha}$] PB et sine dubio F m. 1; $\pi\epsilon\rho\iota\epsilon\chi\acute{o}\mu\epsilon\nu o\nu$ $\grave{o}\rho\theta o\gamma\acute{\omega}\nu\iota o\nu$ $\mu\epsilon\tau\acute{\alpha}$ Vp, et P m. 2. 26. $\grave{\alpha}\pi\grave{o}$ $\tau\tilde{\eta}\varsigma$] om. P. AE $\tau\epsilon\tau\rho\alpha\gamma\acute{\omega}\nu o\upsilon$ Vp, F m. 2. $\grave{\epsilon}\sigma\tau\iota\nu$ V. EB] PB, $\tau\tilde{\eta}\varsigma$ EB F, $\tau\epsilon\tau\rho\alpha\gamma\acute{\omega}\nu\omega$ add. m. 2; $\tau\tilde{\eta}\varsigma$ EB $\tau\epsilon\tau\rho\alpha\gamma\acute{\omega}\nu\omega$ Vp.

ΕΒ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν *ΒΑ*, *ΑΕ*· ὀρθὴ γὰρ ἡ πρὸς τῷ *Α* γωνία· τὸ ἄρα ὑπὸ τῶν *ΓΖ*, *ΖΑ* μετὰ τοῦ ἀπὸ τῆς *ΑΕ* ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν *ΒΑ*, *ΑΕ*. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς *ΑΕ*· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν *ΓΖ*, *ΖΑ* περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΑΒ* τετραγώνῳ. καί ἐστι τὸ μὲν ὑπὸ τῶν *ΓΖ*, *ΖΑ* τὸ *ΖΚ*· ἴση γὰρ ἡ *ΑΖ* τῇ *ΖΗ*· τὸ δὲ ἀπὸ τῆς *ΑΒ* τὸ *ΑΔ*· τὸ ἄρα *ΖΚ* ἴσον ἐστὶ τῷ *ΑΔ*. κοινὸν ἀφῃρήσθω τὸ *ΑΚ*· λοιπὸν ἄρα τὸ *ΖΘ* τῷ *ΘΔ* ἴσον ἐστίν. καί ἐστι τὸ μὲν *ΘΔ* τὸ ὑπὸ τῶν *ΑΒ*, *ΒΘ*· ἴση γὰρ ἡ *ΑΒ* τῇ *ΒΔ*· τὸ δὲ *ΖΘ* τὸ ἀπὸ τῆς *ΑΘ*· τὸ ἄρα ὑπὸ τῶν *ΑΒ*, *ΒΘ* περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ *ΘΑ* τετραγώνῳ.

Ἡ ἄρα δοθεῖσα εὐθεῖα ἡ *ΑΒ* τέτμηται κατὰ τὸ *Θ* ὥστε τὸ ὑπὸ τῶν *ΑΒ*, *ΒΘ* περιεχόμενον ὀρθογώνιον ἴσον ποιεῖν τῷ ἀπὸ τῆς *ΘΑ* τετραγώνῳ· ὅπερ ἔδει ποιῆσαι.

ιβ'.

Ἐν τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ.

Ἔστω ἀμβλυγώνιον τρίγωνον τὸ *ΑΒΓ* ἀμβλεῖαν

---

1. τῆς *ΕΒ* Vp, F m. 2 (*ΕΒ* corr. ex *ΕΔ*). ἐστίν V. 3. ἐστίν V, comp. supra F. 4. τῆς *ΑΕ* τετράγωνον p. 5. ὀρθογώνιον] om. P. ἐστίν V. 6. ἐστιν V. 7. *ΑΖ*] *ΖΑ* p, et V sed corr. m. 2. 8. ἐστίν V. 9. *ΘΔ*] *ΔΘ* B et V

sed $BA^2 + AE^2 = EB^2$; nam angulus ad A positus rectus est [I, 47]. itaque

$$\Gamma Z \times ZA + AE^2 = BA^2 + AE^2.$$

subtrahatur, quod commune est, AE^2. itaque

$$\Gamma Z \times ZA = AB^2.$$

et $\Gamma Z \times ZA = ZK$; nam $AZ = ZH$. et $AB^2 = A\Delta$. itaque $ZK = A\Delta$. subtrahatur, quod commune est, AK. itaque $Z\Theta = \Theta\Delta$. et $\Theta\Delta = AB \times B\Theta$; nam $AB = B\Delta$. et $Z\Theta = A\Theta^2$. itaque $AB \times B\Theta = \Theta A^2$.

Ergo data recta AB in Θ ita secta est, ut faciat

$$AB \times B\Theta = \Theta A^2.$$

quod oportebat fieri.

XII.

In triangulis obtusiangulis quadratum lateris sub obtuso angulo subtendentis quadratis laterum obtusum angulum comprehendentium maius est duplo rectangulo comprehenso ab altero laterum obtusum angulum comprehendentium, eo scilicet, in quod perpendicularis cadit, et recta a perpendiculari ad angulum obtusum extrinsecus abscisa.

Sit triangulus obtusiangulus $AB\Gamma$ obtusum habens

XII. Boetius p. 386, 18.

e corr. m. 2. 10. *ἐστίν*] FV, *ἐστί* uulgo; *ἐστιν ἴσον* p. *ἐστι*] *ἐστιν* V. *ΘΔ τὸ ὑπό* — 11. *τῆς ΑΘ*] ZΘ *τὸ ἀπὸ τῆς ΑΘ τὸ δὲ ΘΔ τὸ ὑπὸ ΑΒ, ΒΘ* P, Campanus; fort. recipiendum. 11. *ΑΒ*] *ΒΑ* p. 12. *ἐστίν* V. 13. *ΘΑ*] *τῆς ΘΑ* F, V (*ΘΑ* in ras.), *τῆς ΑΘ* p. 15. *περιεχόμενον ὀρθογώνιον*] om. p. 16. *ποιεῖν*] PF; *εἶναι* Bp et post ras. 3 litt. V. *ΘΑ*] in ras. m. 2 V; *ΑΘ* p. *τετραγώνῳ*] om. p. 17. *ποιῆσαι*] *δεῖξαι* p, corr. mg. m. 2. 20. *ἐστιν* V. 22. *τε*] insert. m. 1 F. 23. *ἦν*] *ἦν ἐκβληθεῖσαν* p, et B m. recenti.

ἔχον τὴν ὑπὸ $BA\Gamma$, καὶ ἤχθω ἀπὸ τοῦ B σημείου ἐπὶ τὴν $\Gamma\Delta$ ἐκβληθεῖσαν κάθετος ἡ $B\Delta$. λέγω, ὅτι τὸ ἀπὸ τῆς $B\Gamma$ τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν BA, $A\Gamma$ τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓA, $A\Delta$ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ $\Gamma\Delta$ τέτμηται, ὡς ἔτυχεν, κατὰ τὸ A σημεῖον, τὸ ἄρα ἀπὸ τῆς $\Delta\Gamma$ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓA, $A\Delta$ τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓA, $A\Delta$ περιεχομένῳ ὀρθογωνίῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔB· τὰ ἄρα ἀπὸ τῶν $\Gamma\Delta$, ΔB ἴσα ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓA, $A\Delta$, ΔB τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓA, $A\Delta$ [περιεχομένῳ ὀρθογωνίῳ]. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν $\Gamma\Delta$, ΔB ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΓB· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν $A\Delta$, ΔB ἴσον τὸ ἀπὸ τῆς AB· τὸ ἄρα ἀπὸ τῆς ΓB τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν ΓA, AB τετραγώνοις καὶ τῷ δὶς ὑπὸ τῶν ΓA, $A\Delta$ περιεχομένῳ ὀρθογωνίῳ· ὥστε τὸ ἀπὸ τῆς ΓB τετράγωνον τῶν ἀπὸ τῶν ΓA, AB τετραγώνων μεῖζόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΓA, $A\Delta$ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν ἄρα τοῖς ἀμβλυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ἀμβλεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον μεῖζόν ἐστι τῶν ἀπὸ τῶν τὴν ἀμβλεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ἀμβλεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐκτὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ἀμβλείᾳ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

---


1. *τήν*] bis P. $BA\Gamma$ *γωνίαν* V. 2. *ἐκβληθεῖσα* p. 3. *ἐστιν* V. 4. *τῶν*] om. B. 6. *ἔτυχε* Vp. $\Delta\Gamma$] $\Gamma\Delta$ P et V m. 1. 8. *τῷ*] *τῶν* V. 9. *ὀρθογώνιον* V; corr. m. 2. 10. ΔB] $B\Delta$ F. *ἐστίν* FV. 11. *τετραγώνοις*] om. BF.

angulum $BA\Gamma$, et ducatur a puncto B ad ΓA productam perpendicularis $B\Delta$. dico, esse

$$B\Gamma^2 = BA^2 + A\Gamma^2 + 2\,\Gamma A \times A\Delta.$$

nam quoniam recta $\Gamma\Delta$ utcunque secta est in puncto A, erit $\Delta\Gamma^2 = \Gamma A^2 + A\Delta^2 + 2\,\Gamma A \times A\Delta$ [prop. IV]. commune adiiciatur ΔB^2. itaque

$$\Gamma\Delta^2 + \Delta B^2 = \Gamma A^2 + A\Delta^2 + \Delta B^2 + \Gamma A \times A\Delta.$$



sed $\Gamma B^2 = \Gamma\Delta^2 + \Delta B^2$; nam angulus ad Δ positus rectus est [I, 47]. et

$$AB^2 = A\Delta^2 + \Delta B^2 \text{ [id.]}.$$

itaque

$$\Gamma B^2 = \Gamma A^2 + AB^2 + 2\,\Gamma A \times A\Delta.$$

quare quadratum rectae ΓB quadratis rectarum ΓA, AB maius est duplo rectangulo rectis ΓA, $A\Delta$ comprehenso.

Ergo in triangulis obtusiangulis quadratum lateris sub obtuso angulo subtendentis quadratis laterum obtusum angulum comprehendentium maius est duplo rectangulo comprehenso ab altero laterum obtusum angulum comprehendentium, eo scilicet, in quod perpendicularis cadit, et recta a perpendiculari ad angulum obtusum extrinsecus abscisa; quod erat demonstrandum.

---

12. περιεχομένῳ ὀρθογωνίῳ] om. P. 13. ΓA, $A\Delta$ φ. ἐστίν V. 14. $A\Delta$] $\Gamma\Delta$ φ (non F). 15. ἴσον] PBF; ἴσον ἐστίν V et p (ἐστί). AB] BA p. ΓB] $B\Gamma$ p. 16. ἐστίν V. 18. τετράγωνον μεῖζόν ἐστι p. 19. μεῖζόν ἐστι] om. p. ἐστιν PV et B (ν in ras.). 21. ἐν] ἐάν φ. τριγώνοις] om. P. 22. γωνίαν] om. P. 23. ἐστιν V. ἀπὸ τῶν] supra F. 25. τε] insert. F. ἣν ἐκβληθεῖσαν p. 26. ἐκτός] ἐκτὸς τῆς φ.

ιγ'.

Ἐν τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ.

Ἔστω ὀξυγώνιον τρίγωνον τὸ $AB\Gamma$ ὀξεῖαν ἔχον τὴν πρὸς τῷ B γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ A σημείου ἐπὶ τὴν $B\Gamma$ κάθετος ἡ $A\Delta$· λέγω, ὅτι τὸ ἀπὸ τῆς $A\Gamma$ τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓB, BA τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓB, $B\Delta$ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐπεὶ γὰρ εὐθεῖα ἡ ΓB τέτμηται, ὡς ἔτυχεν, κατὰ τὸ Δ, τὰ ἄρα ἀπὸ τῶν ΓB, $B\Delta$ τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓB, $B\Delta$ περιεχομένῳ ὀρθογωνίῳ καὶ τῷ ἀπὸ τῆς $\Delta\Gamma$ τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΔA τετράγωνον· τὰ ἄρα ἀπὸ τῶν ΓB, $B\Delta$, ΔA τετράγωνα ἴσα ἐστὶ τῷ τε δὶς ὑπὸ τῶν ΓB, $B\Delta$ περιεχομένῳ ὀρθογωνίῳ καὶ τοῖς ἀπὸ τῶν $A\Delta$, $\Delta\Gamma$ τετραγώνοις. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν $B\Delta$, ΔA ἴσον τὸ ἀπὸ τῆς AB· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Δ γωνία· τοῖς δὲ ἀπὸ τῶν $A\Delta$, $\Delta\Gamma$ ἴσον τὸ ἀπὸ τῆς $A\Gamma$· τὰ ἄρα ἀπὸ τῶν ΓB, BA ἴσα ἐστὶ τῷ τε ἀπὸ τῆς $A\Gamma$ καὶ τῷ δὶς ὑπὸ τῶν ΓB, $B\Delta$· ὥστε μόνον τὸ ἀπὸ τῆς $A\Gamma$ ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν ΓB, BA τετραγώνων τῷ δὶς ὑπὸ τῶν ΓB, $B\Delta$ περιεχομένῳ ὀρθογωνίῳ.

4. ἔλασσον F. ἐστιν V. 12. $B\Gamma$] B e corr. m. 2 p.

XIII.

In triangulis acutiangulis quadratum lateris sub acuto angulo subtendentis quadratis laterum acutum angulum comprehendentium minus est duplo rectangulo comprehenso ab altero laterum acutum angulum comprehendentium, eo scilicet, in quod perpendicularis cadit, et recta a perpendiculari ad angulum acutum intra abscisa.



Sit triangulus acutiangulus $AB\Gamma$ acutum habens angulum ad B positum, et ducatur ab A puncto ad $B\Gamma$ perpendicularis $A\Delta$. dico, esse

$$A\Gamma^2 = \Gamma B^2 + BA^2 \div 2\,\Gamma B \times B\Delta.$$

nam quoniam recta ΓB utcunque secta est in Δ, erunt $\Gamma B^2 + B\Delta^2 = 2\,\Gamma B \times B\Delta + \Delta\Gamma^2$ [prop. VII]. commune adiiciatur ΔA^2. itaque $\Gamma B^2 + B\Delta^2 + \Delta A^2 = 2\,\Gamma B \times B\Delta + A\Delta^2 + \Delta\Gamma^2$. sed $AB^2 = B\Delta^2 + \Delta A^2$; nam angulus ad Δ positus rectus est [I, 47]. et $A\Gamma^2 = A\Delta^2 + \Delta\Gamma^2$ [I, 47]. itaque $\Gamma B^2 + BA^2 = A\Gamma^2 + 2\,\Gamma B \times B\Delta$. quare

$$A\Gamma^2 = \Gamma B^2 + BA^2 \div 2\,\Gamma B \times B\Delta.$$

XIII. Pappus V p. 376, 21.

τῆς] om. P. 13. ἔλασσον F. ἐστιν V. τῶν ἀπὸ τῶν] τῷ ὑπό F; corr. m. 2; τῶν ἀπό B. 14. περιεχόμενον φ. 16. ΓB] in ras. FV, BΓ p. ἔτυχε Vp. 17. ἐστίν FV. 19. ΔΓ] ΓΔ p. τετραγώνων φ. 21. ἐστίν FV. 22. περιεχομένων φ. 23. τῶν] add. m. 2 F. 24. ἴσον ἐστίν V et p (ἐστί). 25. ἴσον ἐστίν Vφ, p (ἐστί). τό] om. φ. 26. ἐστίν V. 27. τῶν] om. P. 28. ἔλασσον F. ἐστιν V. Post BA ras. unius fere lin. F. 29. BΔ] BA φ.

Ἐν ἄρα τοῖς ὀξυγωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀξεῖαν γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον ἔλαττόν ἐστι τῶν ἀπὸ τῶν τὴν ὀξεῖαν γωνίαν περιεχουσῶν πλευρῶν τετραγώνων τῷ περιεχομένῳ δὶς ὑπό τε μιᾶς τῶν περὶ τὴν ὀξεῖαν γωνίαν, ἐφ' ἣν ἡ κάθετος πίπτει, καὶ τῆς ἀπολαμβανομένης ἐντὸς ὑπὸ τῆς καθέτου πρὸς τῇ ὀξείᾳ γωνίᾳ· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Τῷ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

Ἔστω τὸ δοθὲν εὐθύγραμμον τὸ A· δεῖ δὴ τῷ A εὐθυγράμμῳ ἴσον τετράγωνον συστήσασθαι.

Συνεστάτω γὰρ τῷ A εὐθυγράμμῳ ἴσον παραλληλόγραμμον ὀρθογώνιον τὸ $B\Delta$· εἰ μὲν οὖν ἴση ἐστὶν ἡ BE τῇ $E\Delta$, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν. συνέσταται γὰρ τῷ A εὐθυγράμμῳ ἴσον τετράγωνον τὸ $B\Delta$· εἰ δὲ οὔ, μία τῶν BE, $E\Delta$ μείζων ἐστίν. ἔστω μείζων ἡ BE, καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Z, καὶ κείσθω τῇ $E\Delta$ ἴση ἡ EZ, καὶ τετμήσθω ἡ BZ δίχα κατὰ τὸ H, καὶ κέντρῳ τῷ H, διαστήματι δὲ ἑνὶ τῶν HB, HZ ἡμικύκλιον γεγράφθω τὸ $B\Theta Z$, καὶ ἐκβεβλήσθω ἡ ΔE ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ $H\Theta$.

Ἐπεὶ οὖν εὐθεῖα ἡ BZ τέτμηται εἰς μὲν ἴσα κατὰ

---

1. ἐν] inter ε et ν ras. 1 litt. V. 2. ἔλασσον F. 3. ἐστίν V. 4. τε] om. F. 6. ἐντός] om. P. 11. τὸ μὲν δοθέν p. 13. γάρ] om. p. 14. $B\Delta$] $B\Gamma\Delta E$ p; in ras. V. 15. συνέσταται] PBF, V m. 2; συνεστάτω V m. 1; συνίσταται p. 17. οὔ] postea add. F. Post μία 1 litt. (ι?) eras. F. 18. ἐκβεβλήσθαι φ. 19. EZ] ZE BF. 20. καί] postea add. F. κέντρῳ] PB, F m. 1; κέντρῳ μέν Vp, F m. 2. HB] BH BF. 23. οὖν] om. F. Seq. ras. 1 litt. V. BZ] in ras. V. εἰς] -ς supra m. 1 V.


Ergo in triangulis acutiangulis quadratum lateris sub acuto angulo subtendentis quadratis laterum acutum angulum comprehendentium minus est duplo rectangulo comprehenso ab altero laterum acutum angulum comprehendentium, eo scilicet, in quod perpendicularis cadit, et recta a perpendiculari ad angulum acutum intra abscisa; quod erat demonstrandum.

XIV.

Quadratum datae figurae rectilineae aequale construere.

Sit data figura rectilinea A. oportet igitur figurae rectilineae A aequale quadratum construere.

construatur enim figurae rectilineae A aequale parallelogrammum rectangulum $B\Delta$ [I, 45]. si igitur $BE = E\Delta$, effectum erit, quod propositum erat. constructum enim est quadratum $B\Delta$ datae figurae rectilineae A aequale. sin minus, alterutra rectarum BE, $E\Delta$ maior est. sit maior BE, et producatur ad Z, et ponatur $EZ = E\Delta$, et BZ in H in duas partes aequales secetur [I, 10], et centro H radio autem alterutra rectarum HB, HZ semicirculus describatur $B\Theta Z$, et producatur ΔE ad Θ, et ducatur $H\Theta$.



iam quoniam recta BZ in partes aequales secta

XIV. Simplic. in Arist. de coel. fol. 101; id. in phys. fol. 12^u; 14. Boetius p. 386, 23.

τὸ *H*, εἰς δὲ ἄνισα κατὰ τὸ *E*, τὸ ἄρα ὑπὸ τῶν *BE*, *EZ* περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς *EH* τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *HZ* τετραγώνῳ. ἴση δὲ ἡ *HZ* τῇ *HΘ*· τὸ ἄρα ὑπὸ τῶν *BE*, *EZ* μετὰ τοῦ ἀπὸ τῆς *HE* ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *HΘ*. τῷ δὲ ἀπὸ τῆς *HΘ* ἴσα ἐστὶ τὰ ἀπὸ τῶν *ΘE*, *EH* τετράγωνα· τὸ ἄρα ὑπὸ τῶν *BE*, *EZ* μετὰ τοῦ ἀπὸ *HE* ἴσα ἐστὶ τοῖς ἀπὸ τῶν *ΘE*, *EH*. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς *HE* τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν *BE*, *EZ* περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *EΘ* τετραγώνῳ. ἀλλὰ τὸ ὑπὸ τῶν *BE*, *EZ* τὸ *BΔ* ἐστιν· ἴση γὰρ ἡ *EZ* τῇ *EΔ*· τὸ ἄρα *BΔ* παραλληλόγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΘE* τετραγώνῳ. ἴσον δὲ τὸ *BΔ* τῷ *A* εὐθυγράμμῳ. καὶ τὸ *A* ἄρα εὐθύγραμμον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *EΘ* ἀναγραφησομένῳ τετραγώνῳ.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ *A* ἴσον τετράγωνον συνέσταται τὸ ἀπὸ τῆς *EΘ* ἀναγραφησόμενον· ὅπερ ἔδει ποιῆσαι.

---

1. *τό*] (tert.) supra m. 1 V. 2. *EH*] *HE* P. 3. *ἴσον* — 5. *HΘ*] mg. m. 2 V; in textu ras. tertiae partis lineae. *ἐστίν* φ. 4. *ὑπὸ τῶν BE, EZ*] *ὑπὸ τῶν BE, EZ ὀρθογώνιον* in mg. transiens m. 1 F, seq. *τῶν BE, EZ* φ; *τῶν BE, EZ περιεχόμενον ὀρθογώνιον* p. 5. *HE*] *HE τετραγώνου* p; *τετραγώνου* add. comp. m. 1 F. *δὲ ἀπό*] euan. F. 6. *ἐστίν* Vφ. *EH*] Pp; *HE* BF, in ras. V. 7. *EZ περιεχόμενον ὀρθογώνιον* p. *HE*] PB; *τῆς HE* Vφ, *τῆς EH* p. 8. *ἴσα*] *ἴσον* φ. *ἐστίν* V. *τοῖς*] in ras. V. *ΘE, EH*] Pp; *ΘE, HE* BF, V in ras. 9. *HE*] *EH* p. *τῶν*] supra m. 2 V. 10. *περιεχόμενον ὀρθογώνιον*] om. p. *ἐστίν* V. *τῷ*] *τό* φ. 11. *τὸ BΔ*] BFVp, Campanus; *τὸ ὑπὸ τῶν BE, EΔ* P. 12. *EZ*] *ZE* P. 13. *ἐστίν* V. 14. *καί*] postea add. comp. F; om. V. *A*] insert. m. 1 p. 15. *ἐστίν* PV. *ἀναγραφησομένῳ*] PBF; *ἀναγραφομένῳ* V, *ἀναγραφέντι* p. 18. *συνέσταται*] BF; *συνίσταται* Pp et V in ras. *ἀναγραφέν*

est in H in inaequales autem in E, erunt

$$BE \times EZ + EH^2 = HZ^2 \text{ [prop. V]}.$$

sed $HZ = H\Theta$. itaque $BE \times EZ + HE^2 = H\Theta^2$.
uerum $\Theta E^2 + EH^2 = H\Theta^2$ [I, 47]. itaque

$$BE \times EZ + HE^2 = \Theta E^2 + EH^2.$$

subtrahatur, quod commune est, HE^2. itaque

$$BE \times EZ = E\Theta^2.$$

uerum $BE \times EZ = B\Delta$; nam $EZ = E\Delta$. itaque $B\Delta = \Theta E^2$. sed $B\Delta = A$. itaque etiam figura rectilinea A quadrato, quod in $E\Theta$ construi poterit, aequale est.

Ergo datae figurae rectilineae A aequale quadratum constructum est, id quod in $E\Theta$ describi poterit; quod oportebat fieri.

---

p. 19. ποιῆσαι] δείξαι F V. Εὐκλείδου στοιχ. β B, Εὐκλείδου στοιχείων τῆς Θέωνος ἐκδόσεως β F, τέλος τοῦ δευτέρου στοιχείου τοῦ Εὐκλείδου τοῦ γεωμέτρου V.

Ὅροι.

α'. Ἴσοι κύκλοι εἰσίν, ὧν αἱ διάμετροι ἴσαι εἰσίν, ἢ ὧν αἱ ἐκ τῶν κέντρων ἴσαι εἰσίν.

β'. Εὐθεῖα κύκλου ἐφάπτεσθαι λέγεται, ἥτις ἁπτομένη τοῦ κύκλου καὶ ἐκβαλλομένη οὐ τέμνει τὸν κύκλον.

γ'. Κύκλοι ἐφάπτεσθαι ἀλλήλων λέγονται οἵτινες ἁπτόμενοι ἀλλήλων οὐ τέμνουσιν ἀλλήλους.

δ'. Ἐν κύκλῳ ἴσον ἀπέχειν ἀπὸ τοῦ κέντρου εὐθεῖαι λέγονται, ὅταν αἱ ἀπὸ τοῦ κέντρου ἐπ' αὐτὰς κάθετοι ἀγόμεναι ἴσαι ὦσιν.

ε'. Μεῖζον δὲ ἀπέχειν λέγεται, ἐφ' ἣν ἡ μείζων κάθετος πίπτει.

ς'. Τμῆμα κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

ζ'. Τμήματος δὲ γωνία ἐστὶν ἡ περιεχομένη ὑπό τε εὐθείας καὶ κύκλου περιφερείας.

η'. Ἐν τμήματι δὲ γωνία ἐστίν, ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον καὶ ἀπ'

Def. 1. Hero def. 117, 3. Boetius p. 378, 15. 2. Hero def. 115, 1. Boetius p. 378, 17. 3. Hero ib. Boetius p. 378, 19. 4—5. Hero def. 117, 4. Boetius p. 379, 1. 6. Hero def. 33. Boetius p. 379, 5. 7. Boetius p. 379, 9. 8. Hero def. 34. Boetius p. 379, 6.

---

1. ὅροι] om. PBFp; numeros om. PBFV. 2. εἰσίν] om.

III.

Definitiones.

I. Aequales circuli sunt, quorum diametri aequales sunt, uel quorum radii aequales.

II. Recta circulum contingere dicitur, quaecunque circulum tangens et producta non secat circulum.

III. Circuli inter se contingere dicuntur, quicunque inter se tangentes non secant inter se.

IV. In circulo rectae aequali spatio a centro distare dicuntur, si rectae a centro ad eas perpendiculares ductae aequales sunt.

V. Maiore autem spatio distare ea dicitur, in quam maior perpendicularis cadit.

VI. Segmentum circuli est figura a recta aliqua et arcu circuli comprehensa.[1])

VII. Segmenti autem angulus is est, qui a recta et arcu circuli comprehenditur.

VIII. Angulus autem in segmento positus is est, qui sumpto in arcu segmenti puncto aliquo et ab eo

1) Cfr. not. crit. ad p. 6, 1.

p. 3. *αἱ*] insert. m. 1 P. *ἴσαι εἰσίν*] *εὐ . . . σιν* intercedente ras. 10 litt. F. 5. *τέμνῃ* V, sed corr. 6. Post *κύκλον* add. *ἐπὶ μηδέτερα μέρη* P; idem loco uocabuli *οὐ* Hero, Boetius, Campanus. 7. Ante *κύκλοι* ras. 2 litt. V. 9. *ἀπό*] om. V, Hero. 11. *ὥσι* p. 12. *ε′*] cum def. 4 coniunxit p. 14. *ἐστίν* V. 15. Post *περιφερείας* p mg. m. 1 pro scholio add. *ἢ μείζονος ἡμικυκλιου ἢ ἐλάττονος ἡμικυκλίου*; cfr. Hero. 19. *ἀπ′*] *ἀπό* P.

αὐτοῦ ἐπὶ τὰ πέρατα τῆς εὐθείας, ἥ ἐστι βάσις τοῦ τμήματος, ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ὑπὸ τῶν ἐπιζευχθεισῶν εὐθειῶν.

θ'. Ὅταν δὲ αἱ περιέχουσαι τὴν γωνίαν εὐθεῖαι ἀπολαμβάνωσί τινα περιφέρειαν, ἐπ' ἐκείνης λέγεται βεβηκέναι ἡ γωνία.

ι'. Τομεὺς δὲ κύκλου ἐστίν, ὅταν πρὸς τῷ κέντρῳ τοῦ κύκλου συσταθῇ γωνία, τὸ περιεχόμενον σχῆμα ὑπό τε τῶν τὴν γωνίαν περιεχουσῶν εὐθειῶν καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν περιφερείας.

ια'. Ὅμοια τμήματα κύκλων ἐστὶ τὰ δεχόμενα γωνίας ἴσας, ἢ ἐν οἷς αἱ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν.

α'.

Τοῦ δοθέντος κύκλου τὸ κέντρον εὑρεῖν.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ $AB\Gamma$· δεῖ δὴ τοῦ $AB\Gamma$ κύκλου τὸ κέντρον εὑρεῖν.

Διήχθω τις εἰς αὐτόν, ὡς ἔτυχεν, εὐθεῖα ἡ AB, καὶ τετμήσθω δίχα κατὰ τὸ Δ σημεῖον, καὶ ἀπὸ τοῦ Δ τῇ AB πρὸς ὀρθὰς ἤχθω ἡ $\Delta\Gamma$ καὶ διήχθω ἐπὶ τὸ E, καὶ τετμήσθω ἡ ΓE δίχα κατὰ τὸ Z· λέγω, ὅτι τὸ Z κέντρον ἐστὶ τοῦ $AB\Gamma$ [κύκλου].

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τὸ H, καὶ ἐπεζεύχθωσαν αἱ HA, $H\Delta$, HB. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ $A\Delta$ τῇ ΔB, κοινὴ δὲ ἡ ΔH, δύο δὴ αἱ $A\Delta$, ΔH δύο ταῖς $H\Delta$, ΔB ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ· καὶ βάσις ἡ HA βάσει τῇ HB ἐστιν ἴση· ἐκ κέντρου γάρ·

Def. 9. Boetius p. 379, 10. 10. Hero def. 35. Boetius p. 379, 13. 11. Hero def. 118, 2. Simplicius in phys. fol. 14. Boetius p. 379, 16. I. Proclus p. 302, 5.

1. ἥ] PF; ἥτις BVp. ἐστίν BV. 5. ἀπολαμβάνωσιν

rectis ad terminos ductis rectae, quae basis est segmenti, a rectis ductis comprehenditur.

IX. Ubi uero rectae angulum comprehendentes arcum aliquem abscindunt, angulus in eo consistere dicitur.

X. Sector autem circuli est figura, quae angulo ad centrum circuli constructo a rectis angulum comprehendentibus et arcu ab iis absciso continetur.

XI. Similia segmenta circulorum sunt, quae angulos aequales capiunt, uel in quibus anguli aequales sunt [cfr. def. 8].

I.

Dati circuli centrum inuenire.

Sit datus circulus $AB\Gamma$. oportet igitur circuli $AB\Gamma$ centrum inuenire.



producatur in eum utcunque recta AB, et in puncto Δ in duas partes aequales secetur, et a Δ ad rectam AB perpendicularis ducatur $\Delta\Gamma$ [I, 11], et producatur ad E, et ΓE in duas partes aequales secetur in Z. dico, Z centrum esse circuli $AB\Gamma$.

Ne sit enim, sed, si fieri potest, sit H, et ducantur HA, $H\Delta$, HB. et quoniam $A\Delta = \Delta B$, et ΔH communis est, duae rectae $A\Delta$, ΔH duabus $H\Delta$, ΔB aequales sunt altera alteri. et $HA = HB$; nam

---

V. ἐπ'] ἐπί B. 7. δέ] om. p. 11. κύκλων] PBp, Hero, Simplicius, Boetius; κύκλου Vφ. ἐστίν V. 17. ἤχθω P. 19. Post AB ras. 1 litt. V. $\Delta\Gamma$] $\Gamma\Delta$ P. 21. κύκλου] om. P. 22. ἐπιζευχθῶσαν P. 23. καί] om. φ. 25. δύο] δυσί Vp. $H\Delta$, ΔB] ΔH, $B\Delta$ P. 26. ἴση ἐστίν V. γάρ] PB; γὰρ τοῦ H FVp.

γωνία ἄρα ἡ ὑπὸ $A\Delta H$ γωνίᾳ τῇ ὑπὸ $H\Delta B$ ἴση ἐστίν. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ $H\Delta B$. ἐστὶ δὲ καὶ ἡ ὑπὸ $Z\Delta B$ ὀρθή· ἴση ἄρα ἡ ὑπὸ $Z\Delta B$ τῇ ὑπὸ $H\Delta B$, ἡ μείζων τῇ ἐλάττονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ H κέντρον ἐστὶ τοῦ $AB\Gamma$ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλο τι πλὴν τοῦ Z.

Τὸ Z ἄρα σημεῖον κέντρον ἐστὶ τοῦ $AB\Gamma$ [κύκλου].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ἐν κύκλῳ εὐθεῖά τις εὐθεῖάν τινα δίχα καὶ πρὸς ὀρθὰς τέμνῃ, ἐπὶ τῆς τεμνούσης ἐστὶ τὸ κέντρον τοῦ κύκλου. — ὅπερ ἔδει ποιῆσαι.

β'.

Ἐὰν κύκλου ἐπὶ τῆς περιφερείας ληφθῇ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Ἔστω κύκλος ὁ $AB\Gamma$, καὶ ἐπὶ τῆς περιφερείας αὐτοῦ εἰλήφθω δύο τυχόντα σημεῖα τὰ A, B· λέγω, ὅτι ἡ ἀπὸ τοῦ A ἐπὶ τὸ B ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου.

Μὴ γάρ, ἀλλ' εἰ δυνατόν, πιπτέτω ἐκτὸς ὡς ἡ AEB, καὶ εἰλήφθω τὸ κέντρον τοῦ $AB\Gamma$ κύκλου, καὶ

Prop. I πόρ. Proclus p. 304 6. Simplicius in phys. fol. 14u.

---

1. ἐστιν ἴση p. 3. ὀρθή ἐστιν p. ἴσων] om. P. 4. ἐστιν] om. p. $H\Delta B$] ΔHB φ. 6. $H\Delta B$] in ras. F. ἐλάττων τῇ μείζονι P. 7. ἐστίν V. $AB\Gamma$] $HB\Gamma$ φ (non F). 8. οὐδ'] οὐδέ P. 9. ἄρα] om. F. ἐστίν PV. κύκλου] om. P. 11. πόρισμα] om. F. 12. τις εὐθεῖα V.

radii sunt. itaque $\angle A\Delta H = H\Delta B$ [I, 8]. ubi uero recta super rectam erecta angulos deinceps positos inter se aequales efficit, uterque angulus aequalis rectus est [I def. 10]. itaque $\angle H\Delta B$ rectus est. sed etiam $\angle Z\Delta B$ rectus est. itaque $\angle Z\Delta B = H\Delta B$ maior minori; quod fieri non potest. quare H centrum non est circuli $AB\Gamma$. similiter demonstrabimus ne aliud quidem ullum punctum centrum esse praeter Z.

Ergo Z punctum centrum est circuli $AB\Gamma$.

Corollarium.

Hinc manifestum est, si in circulo recta aliqua aliam rectam in duas partes aequales et ad angulos rectos secet, centrum circuli in recta secanti esse.[1]) — quod oportebat fieri.

II.

Si in ambitu circuli duo quaelibet puncta sumpta erunt, recta puncta coniungens intra circulum cadet.

Sit circulus $AB\Gamma$, et in ambitu eius duo quaelibet puncta sumantur A, B. dico, rectam ab A ad B ductam intra circulum casuram esse.

Ne cadat enim, sed, si fieri potest, cadat extra ut

1) Nam in $\Gamma\Delta$ in media AB perpendiculari erecta centrum erat positum; ceterum hoc corollarium quasi parenthetice ponitur, ita ut uerba ὅπερ ἔδει ποιῆσαι lin. 14 ad ipsum problema I referuntur; cfr. III, 16, al.

14. ἐστίν V. ποιῆσαι] δεῖξαι P. ὅπερ ἔδει ποιῆσαι] om. p. 18. σημεῖα τυχόντα p. τά] PBp, V m. 1; τὰ αὐτά F, V m. 2.

ἔστω τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΔΑ, ΔΒ, καὶ διήχθω ἡ ΔΖΕ.

Ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΑ τῇ ΔΒ, ἴση ἄρα καὶ γωνία ἡ ὑπὸ ΔΑΕ τῇ ὑπὸ ΔΒΕ· καὶ ἐπεὶ τριγώνου τοῦ ΔΑΕ μία πλευρὰ προσεκβέβληται ἡ ΑΕΒ, μείζων ἄρα ἡ ὑπὸ ΔΕΒ γωνία τῆς ὑπὸ ΔΑΕ. ἴση δὲ ἡ ὑπὸ ΔΑΕ τῇ ὑπὸ ΔΒΕ· μείζων ἄρα ἡ ὑπὸ ΔΕΒ τῆς ὑπὸ ΔΒΕ. ὑπὸ δὲ τὴν μείζονα γωνίαν ἡ μείζων πλευρὰ ὑποτείνει· μείζων ἄρα ἡ ΔΒ τῆς ΔΕ. ἴση δὲ ἡ ΔΒ τῇ ΔΖ. μείζων ἄρα ἡ ΔΖ τῆς ΔΕ ἡ ἐλάττων τῆς μείζονος· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ἐπιζευγνυμένη εὐθεῖα ἐκτὸς πεσεῖται τοῦ κύκλου. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἐπ' αὐτῆς τῆς περιφερείας· ἐντὸς ἄρα.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς περιφερείας ληφθῇ δύο τυχόντα σημεῖα, ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

γ΄.


Ἐὰν ἐν κύκλῳ εὐθειά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· καὶ ἐὰν πρὸς ὀρθὰς αὐτὴν τέμνῃ, καὶ δίχα αὐτὴν τέμνει.

Ἔστω κύκλος ὁ ΑΒΓ, καὶ ἐν αὐτῷ εὐθειά τις διὰ τοῦ κέντρου ἡ ΓΔ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου

---

1. ΔΑ] ΑΔ V. 2. ΔΖΕ] PBp; V m. 1; ΔΖ ἐπὶ τὸ Ε V m. 2; in F post ΔΖ eras. Ε et ἐπὶ τό supra scr. m. 2. 3. ἐπεὶ οὖν] καὶ ἐπεί P. 4. ἡ γωνία ἡ P. τριγώνου] in ras. comp. m. 2 V. 5. ΑΕΒ] PB, p (τ Α- in ras.); ΕΒ supra scr. Α m. 2 F; ΑΕ ἐπὶ τὸ Β V e corr. 10. τῇ] τῆς F. ἄρα καί p. 13. δή] corr. ex δέ m. 2 V. 14. ἄρα πεσεῖται P. 15. κύκλου ἄρα p. 16. σημεῖα τυχόντα p. τά]

AEB, et sumatur centrum circuli $AB\Gamma$ [prop. I], et sit Δ, et ducantur ΔA, ΔB, et producatur ΔZE.



iam quoniam $\Delta A = \Delta B$, erit

$$\angle \Delta AE = \Delta BE \text{ [I, 5]}.$$

et quoniam in triangulo ΔAE unum latus productum est AEB, erit

$$\angle \Delta EB > \Delta AE \text{ [I, 16]}.$$

uerum

$$\angle \Delta AE = \Delta BE.$$

itaque $\angle \Delta EB > \Delta BE$. sub maiore autem angulo maius latus subtendit [I, 19]. itaque $\Delta B > \Delta E$. sed $\Delta B = \Delta Z$. itaque $\Delta Z > \Delta E$ minus maiore; quod fieri non potest. ergo recta ab A ad B ducta extra circulum non cadet. iam similiter demonstrabimus, ne in ipsum quidem ambitum eam cadere; intra igitur cadet.

Ergo si in ambitu circuli duo quaelibet puncta sumpta erunt, recta puncta coniungens intra circulum cadet; quod erat demonstrandum.

III.

Si in circulo recta aliqua per centrum ducta aliam rectam non per centrum ductam in duas partes aequales secat, etiam ad rectos angulos eam secat. et si ad rectos angulos eam secat, etiam in duas partes aequales secat.

Sit circulus $AB\Gamma$, et in eo recta aliqua per centrum ducta $\Gamma\Delta$ aliam rectam non per centrum ductam

---

τὰ αὐτά φ (in mg. transit), V m. 2. 17. δεῖξαι] supra add. ποιῆσαι F m. 1. 21. τέμνει] P, τεμεῖ BFVp; sed cfr. p. 174, 19. 22. τέμνει] P; τεμεῖ BFVp.

τὴν AB δίχα τεμνέτω κατὰ τὸ Z σημεῖον· λέγω, ὅτι καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ $AB\Gamma$ κύκλου, καὶ ἔστω τὸ E, καὶ ἐπεζεύχθωσαν αἱ EA, EB.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AZ τῇ ZB, κοινὴ δὲ ἡ ZE, δύο δυσὶν ἴσαι [εἰσίν]· καὶ βάσις ἡ EA βάσει τῇ EB ἴση· γωνία ἄρα ἡ ὑπὸ AZE γωνίᾳ τῇ ὑπὸ BZE ἴση ἐστίν. ὅταν δὲ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν· ἑκατέρα ἄρα τῶν ὑπὸ AZE, BZE ὀρθή ἐστιν. ἡ $\Gamma\Delta$ ἄρα διὰ τοῦ κέντρου οὖσα τὴν AB μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα τέμνουσα καὶ πρὸς ὀρθὰς τέμνει.

Ἀλλὰ δὴ ἡ $\Gamma\Delta$ τὴν AB πρὸς ὀρθὰς τεμνέτω· λέγω, ὅτι καὶ δίχα αὐτὴν τέμνει, τουτέστιν, ὅτι ἴση ἐστὶν ἡ AZ τῇ ZB.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ ἴση ἐστὶν ἡ EA τῇ EB, ἴση ἐστὶ καὶ γωνία ἡ ὑπὸ EAZ τῇ ὑπὸ EBZ. ἐστὶ δὲ καὶ ὀρθὴ ἡ ὑπὸ AZE ὀρθῇ τῇ ὑπὸ BZE ἴση· δύο ἄρα τρίγωνά ἐστι τὰ EAZ, EZB τὰς δύο γωνίας δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην κοινὴν αὐτῶν τὴν EZ ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει· ἴση ἄρα ἡ AZ τῇ ZB.


---

2. τεμεῖ F. 5. ZB] corr. ex BZ m. 2 V; BZ B. 6. δύο δή BVp, in B seq. »—X—« εἰσίν] om. P; εἰσί p. EA] AE φ. 7. BZE] EZB P. 9. ὀρθή ἐστιν Bp. 10. ἐστιν] om. Bp; supra comp. m. 2 V. 10. ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ AZE, BZE P. AZE, BZE] in ras. F. 11. ἐστιν] comp. supra scr. F. $\Gamma\Delta$] Γ postea insert. V. 13. αὐτὴν τέμνει V. 14. δὴ καί V. $\Gamma\Delta$] Γ postea insert.

AB in duas partes aequales secet in puncto Z. dico, eandem eam ad rectos angulos secare.

sumatur enim centrum circuli $AB\Gamma$ [prop. I], et sit E, et ducantur EA, EB.

et quoniam $AZ = ZB$, communis autem est ZE, duae rectae duabus aequales sunt. et $EA = EB$. itaque $\angle AZE = BZE$ [I,8]. ubi uero recta super rectam erecta angulos deinceps positos inter se aequales efficit, uterque angulus aequalis rectus est [I def. 10]. itaque uterque angulus AZE, BZE rectus est. ergo $\Gamma\Delta$ per centrum ducta rectam AB non per centrum ductam in duas partes aequales secans eadem ad rectos angulos secat.



Uerum $\Gamma\Delta$ rectam AB ad rectos angulos secet. dico, eandem eam in duas partes aequales secare, h. e. esse $AZ = ZB$.

nam iisdem comparatis quoniam $EA = EB$, erit etiam $\angle EAZ = EBZ$ [I,5]. uerum etiam $\angle AZE = BZE$, quia recti sunt. itaque[1]) duo trianguli sunt EAZ, EZB duos angulos duobus aequales habentes et unum latus uni lateri aequale EZ, quod commune est eorum, sub altero angulorum aequalium subtendens. itaque etiam reliqua latera reliquis lateribus aequalia habebunt [I, 26]. ergo $AZ = ZB$.

1) Cum ἄρα lin. 20 in omnibus bonis codicibus omissum sit, fortasse potius pro ἴση ἐστὶ καί lin. 18 scribendum: ἴση δὲ καί.

V. 18. ἐκ κέντρου mg. V (schol.). litt. BZ in ras. V; corr. ex EZB F. om. PBF; comp. supra scr. V m. 2. B. ἐστιν V. ἐστίν V. 19. EBZ] ἐστίν V. 20. ἄρα] τρίγωνα] -γωνα eras.

Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖά τις διὰ τοῦ κέντρου εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου δίχα τέμνῃ, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· καὶ ἐὰν πρὸς ὀρθὰς αὐτὴν τέμνῃ, καὶ δίχα αὐτὴν τέμνει· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα.

Ἔστω κύκλος ὁ $AB\Gamma\Delta$, καὶ ἐν αὐτῷ δύο εὐθεῖαι αἱ $A\Gamma$, $B\Delta$ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ E μὴ διὰ τοῦ κέντρου οὖσαι· λέγω, ὅτι οὐ τέμνουσιν ἀλλήλας δίχα.

Εἰ γὰρ δυνατόν, τεμνέτωσαν ἀλλήλας δίχα ὥστε ἴσην εἶναι τὴν μὲν AE τῇ $E\Gamma$, τὴν δὲ BE τῇ $E\Delta$· καὶ εἰλήφθω τὸ κέντρον τοῦ $AB\Gamma\Delta$ κύκλου, καὶ ἔστω τὸ Z, καὶ ἐπεζεύχθω ἡ ZE.

Ἐπεὶ οὖν εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ZE εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν $A\Gamma$ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ZEA· πάλιν, ἐπεὶ εὐθεῖά τις ἡ ZE εὐθεῖάν τινα τὴν $B\Delta$ δίχα τέμνει, καὶ πρὸς ὀρθὰς αὐτὴν τέμνει· ὀρθὴ ἄρα ἡ ὑπὸ ZEB. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ ZEA ὀρθή· ἴση ἄρα ἡ ὑπὸ ZEA τῇ ὑπὸ ZEB ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα αἱ $A\Gamma$, $B\Delta$ τέμνουσιν ἀλλήλας δίχα.


---

1. ἐν κύκλῳ] om. p; κύκλῳ comp. V, ἐν add. m. 2. 2. εὐθεῖάν τινα — 4. τέμνει] καὶ τὰ ἑξῆς PBV. μὴ διά — 4. τέμνει] καὶ τὰ ἑξῆς F. 4. τέμνῃ] -μνη in ras. p. 10. E σημεῖον P. 13. εἰ γάρ — 14. τῇ $E\Gamma$] in ras. F. 14. εἶναι ἴσην p. 18. μὴ διὰ τοῦ κέντρου] Pp; om. BFV. 19. τέμνει] PBpφ; τεμεῖ V. ἐστί P. 20. ἐπεί] Pp; m. 2 supra

Ergo si in circulo recta aliqua per centrum ducta aliam rectam non per centrum ductam in duas partes aequales secat, etiam ad rectos angulos eam secat; et si ad rectos angulos eam secat, etiam in duas partes aequales secat; quod erat demonstrandum.

IV.

Si in circulo duae rectae inter se secant non per centrum ductae, in duas partes aequales inter se non secant.



Sit circulus $AB\Gamma\Delta$ et in eo duae rectae $A\Gamma$, $B\Delta$ non per centrum ductae inter se secent in E. dico, eas in duas partes aequales inter se non secare.

nam si fieri potest, in duas partes aequales inter se secent, ita ut sit $AE = E\Gamma$ et $BE = E\Delta$, et sumatur centrum circuli $AB\Gamma\Delta$ [prop. I], et sit Z, et ducatur ZE. iam quoniam recta per centrum ducta ZE aliam rectam non per centrum ductam $A\Gamma$ in duas partes aequales secat, etiam ad rectos angulos eam secat [prop. III]. itaque $\angle ZEA$ rectus est. rursus quoniam recta ZE aliam rectam $B\Delta$ in duas partes aequales secat, etiam ad rectos angulos eam secat [id.]. itaque $\angle ZEB$ rectus est. sed demonstratum est, etiam $\angle ZEA$ rectum esse. quare

$$\angle ZEA = ZEB,$$

minor maiori; quod fieri non potest. itaque rectae $A\Gamma$, $B\Delta$ in duas partes aequales inter se non secant.

V; ἐπ' F, corr. m. 2; om. B. 21. $B\Delta$ μὴ διὰ τοῦ κέντρου F, V m. 2. τέμνει] (alt.) PBVp; τεμεῖ F. 23. ἐλάσσων F. 24. ἐστίν] PBp; om. Vφ.

Ἐὰν ἄρα ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας μὴ διὰ τοῦ κέντρου οὖσαι, οὐ τέμνουσιν ἀλλήλας δίχα· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΗ τεμνέτωσαν ἀλλήλους κατὰ τὰ Β, Γ σημεῖα. λέγω, ὅτι οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΓ, καὶ διήχθω ἡ ΕΖΗ, ὡς ἔτυχεν. καὶ ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΖ. πάλιν, ἐπεὶ τὸ Ε σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΗ κύκλου, ἴση ἐστὶν ἡ ΕΓ τῇ ΕΗ· ἐδείχθη δὲ ἡ ΕΓ καὶ τῇ ΕΖ ἴση· καὶ ἡ ΕΖ ἄρα τῇ ΕΗ ἐστιν ἴση ἡ ἐλάσσων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ε σημεῖον κέντρον ἐστὶ τῶν ΑΒΓ, ΓΔΗ κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι τέμνωσιν ἀλλήλους, οὐκ ἔστιν αὐτῶν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν δύο κύκλοι ἐφάπτωνται ἀλλήλων, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.


---

2. μὴ διὰ — δίχα] καὶ τὰ ἑξῆς BFV. 7. ΓΔΗ] ΔΗ V. 8. Β, Γ] Γ, Β p. 10. ΕΓ] ΓΕ p. 11. ἔτυχε p. 12. ἐστίν V. τοῦ] bis P. 13. ἐστίν V. 14. ΕΓ] ΓΕ P. 15. Post δέ 1 litt. eras. V. ΕΖ] (alt.) ΖΕ P. 16. ἴση ἐστίν p. ἐλάττων BVp. ἐστίν] om. V. 17. ἐστίν V. 19. ἔσταιVp. 22. ἀλλήλων ἐντός V et F m. 2.

Ergo si in circulo duae rectae inter se secant non per centrum ductae, in duas partes aequales inter se non secant; quod erat demonstrandum.

V.

Si duo circuli inter se secant, non habebunt idem centrum.



nam duo circuli $AB\Gamma$, $\Gamma\Delta H$ inter se secent in punctis B, Γ. dico, eos idem centrum habituros non esse.

nam si fieri potest, sit E, et ducatur $E\Gamma$, et educatur EZH utcunque. et quoniam E punctum centrum est circuli $AB\Gamma$, erit $E\Gamma = EZ$. rursus quoniam punctum E centrum est circuli $\Gamma\Delta H$, erit $E\Gamma = EH$. sed demonstratum est etiam $E\Gamma = EZ$. itaque etiam $EZ = EH$, minor maiori; quod fieri non potest. itaque punctum E centrum circulorum $AB\Gamma$, $\Gamma\Delta H$ non est.

Ergo si duo circuli inter se secant, non habebunt idem centrum; quod erat demonstrandum.

VI.

Si duo circuli inter se contingunt, non habebunt idem centrum.[1])

---

1) Euclides eum casum, quo circuli intra contingunt, ut obscuriorem sibi demonstrandum sumpsit; nam ubi circuli extrinsecus se contingunt, propositio per se patet. ceterum demonstratio Euclidis de hoc quoque casu ualet. quare ἐντός lin. 22 mera interpolatio est, ut etiam e codicum ratione adparet (om. Campanus).

Δύο γὰρ κύκλοι οἱ ΑΒΓ, ΓΔΕ ἐφαπτέσθωσαν ἀλλήλων κατὰ τὸ Γ σημεῖον· λέγω, ὅτι οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον.

Εἰ γὰρ δυνατόν, ἔστω τὸ Ζ, καὶ ἐπεζεύχθω ἡ ΖΓ, καὶ διήχθω, ὡς ἔτυχεν, ἡ ΖΕΒ.

Ἐπεὶ οὖν τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΑΒΓ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΒ. πάλιν, ἐπεὶ τὸ Ζ σημεῖον κέντρον ἐστὶ τοῦ ΓΔΕ κύκλου, ἴση ἐστὶν ἡ ΖΓ τῇ ΖΕ. ἐδείχθη δὲ ἡ ΖΓ τῇ ΖΒ ἴση· καὶ ἡ ΖΕ ἄρα τῇ ΖΒ ἐστιν ἴση, ἡ ἐλάττων τῇ μείζονι· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τὸ Ζ σημεῖον κέντρον ἐστὶ τῶν ΑΒΓ, ΓΔΕ κύκλων.

Ἐὰν ἄρα δύο κύκλοι ἐφάπτωνται ἀλλήλων, οὐκ ἔσται αὐτῶν τὸ αὐτὸ κέντρον· ὅπερ ἔδει δεῖξαι.

ζ΄.

Ἐὰν κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, μεγίστη μὲν ἔσται, ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπή, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.


Ἔστω κύκλος ὁ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἔστω ἡ ΑΔ, καὶ ἐπὶ τῆς ΑΔ εἰλήφθω τι σημεῖον τὸ Ζ, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, κέντρον δὲ τοῦ κύκλου

---

1. ἁπτέσθωσαν P et F m. 1 (corr. m. 2). 2. ἔσται] ἔστιν Vp. 6. ἐστίν V. 7. ΖΒ] ΒΖ P. πάλιν — 8. ΓΔΕ] in ras. p. 8. ἐστίν V. 9. δὲ καί p et F m. 2. 10. ἐλάσ-

nam duo circuli $ABΓ$, $ΓΔE$ in puncto $Γ$ inter se contingant. dico, eos idem centrum habituros non esse.

nam si fieri potest, sit Z, et ducatur $ZΓ$, et educatur ZEB utcunque. iam quoniam punctum Z centrum est circuli $ABΓ$, erit $ZΓ = ZB$. rursus quoniam punctum Z centrum est circuli $ΓΔE$, erit $ZΓ = ZE$. sed demonstratum est $ZΓ = ZB$. quare etiam $ZE = ZB$ minor maiori; quod fieri non potest. itaque Z punctum centrum circulorum $ABΓ$, $ΓΔE$ non est.



Ergo si duo circuli inter se contingunt, non habebunt idem centrum; quod erat demonstrandum.

VII.

Si in diametro circuli punctum aliquod sumitur, quod centrum circuli non est, et ab hoc puncto ad circulum rectae aliquot adcidunt, maxima erit ea, in qua est centrum, minima autem reliqua, ceterarum autem proxima quaeque ei, quae per centrum ducta est, remotiore maior est, et duae solae aequales ad circulum adcident a puncto illo in utraque parte minimae.

sit circulus $ABΓΔ$, diametrus autem eius sit $AΔ$, et in $AΔ$ sumatur punctum aliquod Z, quod non est centrum circuli, centrum autem circuli sit E, et a Z

σων Fp. ἐστίν] om. p. 11. ἐστίν V. 13. ἐφάπτωνται] ἐφ- add. m. 2 F. ἀλλήλων ἐντός V. 17. ἐστιν FV. 19. τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου αἱ δὲ λοιπαὶ ὡς ἔτυχεν F. 20. δὲ ἡ] supra m. 2 F. δέ] δ' FV p. 21. ἔγγειον P. ἀπωτέρῳ P. 22. ἐστί PBp. εὐθεῖαι ἴσαι Bp, V m. 2. τοῦ αὐτοῦ BVp. 25. ὁ] postea add. V. δέ] om. p. ἔστω] om. p. 27. ἐστιν F. κέντρον] (pr.) in ras. p. δέ] insert. p.

ἔστω τὸ *E*, καὶ ἀπὸ τοῦ *Z* πρὸς τὸν *ΑΒΓΔ* κύκλον προσπιπτέτωσαν εὐθεῖαί τινες αἱ *ZB*, *ZΓ*, *ZH*· λέγω, ὅτι μεγίστη μέν ἐστιν ἡ *ZA*, ἐλαχίστη δὲ ἡ *ZΔ*, τῶν δὲ ἄλλων ἡ μὲν *ZB* τῆς *ZΓ* μείζων, ἡ δὲ *ZΓ* τῆς *ZH*.

Ἐπεζεύχθωσαν γὰρ αἱ *BE*, *ΓE*, *HE*. καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσιν, αἱ ἄρα *EB*, *EZ* τῆς *BZ* μείζονές εἰσιν. ἴση δὲ ἡ *AE* τῇ *BE* [αἱ ἄρα *BE*, *EZ* ἴσαι εἰσὶ τῇ *AZ*]· μείζων ἄρα ἡ *AZ* τῆς *BZ*. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ *BE* τῇ *ΓE*, κοινὴ δὲ ἡ *ZE*, δύο δὴ αἱ *BE*, *EZ* δυσὶ ταῖς *ΓE*, *EZ* ἴσαι εἰσίν. ἀλλὰ καὶ γωνία ἡ ὑπὸ *BEZ* γωνίας τῆς ὑπὸ *ΓEZ* μείζων· βάσις ἄρα ἡ *BZ* βάσεως τῆς *ΓZ* μείζων ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ *ΓZ* τῆς *ZH* μείζων ἐστίν.


Πάλιν, ἐπεὶ αἱ *HZ*, *ZE* τῆς *EH* μείζονές εἰσιν, ἴση δὲ ἡ *EH* τῇ *EΔ*, αἱ ἄρα *HZ*, *ZE* τῆς *EΔ* μείζονές εἰσιν. κοινὴ ἀφῃρήσθω ἡ *EZ*· λοιπὴ ἄρα ἡ *HZ* λοιπῆς τῆς *ZΔ* μείζων ἐστίν. μεγίστη μὲν ἄρα ἡ *ZA*, ἐλαχίστη δὲ ἡ *ZΔ*, μείζων δὲ ἡ μὲν *ZB* τῆς *ZΓ*, ἡ δὲ *ZΓ* τῆς *ZH*.

Λέγω, ὅτι καὶ ἀπὸ τοῦ *Z* σημείου δύο μόνον ἴσαι προσπεσοῦνται πρὸς τὸν *ΑΒΓΔ* κύκλον ἐφ' ἑκάτερα τῆς *ZΔ* ἐλαχίστης. συνεστάτω γὰρ πρὸς τῇ *EZ* εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ *E* τῇ ὑπὸ *HEZ* γωνίᾳ ἴση ἡ ὑπὸ *ZEΘ*, καὶ ἐπεζεύχθω ἡ *ZΘ*. ἐπεὶ

---

1. κύκλου φ. 3. ἐστιν] om. FV. *ZA*] φ (eras. *ZΔ*). 4. *ZΓ*] corr. m. 2 ex *HΓ* V; *ΓZ* P. *ZΓ*] *ΓZ* F et m. 2 V. 5. τῇ φ. 8. εἰσιν, ἴση δὲ ἡ *AE* τῇ *BE*. αἱ ἄρα *BE* F. αἱ *EB*, *EZ* ἄρα P. τῆς *BZ* — 9. *EZ*] om. F. 9. *AE*] in ras. m. 2 V. αἱ ἄρα — *AZ*] mg. m. 2 P. εἰσίν B. 10. Ante *BZ* ras. 1 litt. V. 11. δέ] om. PB. δυσί]

ad circulum $AB\Gamma\Delta$ adcidant rectae aliquot ZB, $Z\Gamma$, ZH. dico, maximam esse ZA, minimam autem $Z\Delta$, ceterarum autem esse $ZB > Z\Gamma$ et $Z\Gamma > ZH$.



ducantur enim BE, ΓE, HE. et quoniam cuiusuis trianguli duo latera reliquo maiora sunt [I, 20], erunt $EB + EZ > BZ$. sed

$$AE = BE.$$

quare $AZ > BZ$. rursus quoniam $BE = \Gamma E$, communis autem ZE, duae rectae BE, EZ duabus ΓE, EZ aequales sunt. uerum etiam $\angle BEZ > \Gamma EZ$. itaque $BZ > \Gamma Z$ [I, 24]. eadem de causa etiam

$$\Gamma Z > ZH.$$

rursus quoniam $HZ + ZE > EH$ [I, 20], et

$$EH = E\Delta,$$

erunt $HZ + ZE > E\Delta$. subtrahatur, quae communis est, EZ. itaque $HZ > Z\Delta$.[1]) itaque ZA maxima est, $Z\Delta$ autem minima, et $ZB > Z\Gamma$, $Z\Gamma > ZH$.

dico etiam, duas solas aequales a puncto Z ad circulum $AB\Gamma\Delta$ adcidere in utraque parte rectae minimae $Z\Delta$. construatur enim ad rectam EZ et punctum eius E angulo HEZ aequalis $\angle ZE\Theta$ [I, 23],

1) Hoc Euclides ita demonstrauit:

$$HZ + ZE = E\Delta + x.$$

$EZ = EZ$. ergo $HZ = Z\Delta + x$ [*κ. ἔννν.* 3], h. e. $HZ > Z\Delta$.

δύο FV. 14. *ἐστίν*] PBF; comp. p; *ἐστί* V. 15. ZH] HZ P. *ἐστίν*] PFp; *ἐστί* BV. 18. *εἰσιν*] PF; *εἰσι* BVp. 19. *λοιπῇ τῇ* p. $Z\Delta$] supra m. 1 V. *ἐστίν*] PF; *ἐστί* BVp. *μέν*] supra m. 1 F. 20. *τῶν δ' ἄλλων μείζων μὲν ἡ* ZB p. 21. *τῆς*] *τῇ* V. 22. *ἴσαι*] PF; *εὐθεῖαι ἴσαι* BVp. 23. $AB\Gamma\Delta$] Δ add. m. 2 V. 24. $Z\Delta$] om. p.

οὖν ἴση ἐστὶν ἡ ΗΕ τῇ ΕΘ, κοινὴ δὲ ἡ ΕΖ, δύο δὴ αἱ ΗΕ, ΕΖ δυσὶ ταῖς ΘΕ, ΕΖ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ ΗΕΖ γωνίᾳ τῇ ὑπὸ ΘΕΖ ἴση· βάσις ἄρα ἡ ΖΗ βάσει τῇ ΖΘ ἴση ἐστίν. λέγω δή, ὅτι τῇ ΖΗ ἄλλη ἴση οὐ προσπεσεῖται πρὸς τὸν κύκλον ἀπὸ τοῦ Ζ σημείου. εἰ γὰρ δυνατόν, προσπιπτέτω ἡ ΖΚ. καὶ ἐπεὶ ἡ ΖΚ τῇ ΖΗ ἴση ἐστίν, ἀλλὰ ἡ ΖΘ τῇ ΖΗ [ἴση ἐστίν], καὶ ἡ ΖΚ ἄρα τῇ ΖΘ ἐστιν ἴση, ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῇ ἀπώτερον ἴσην· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἀπὸ τοῦ Ζ σημείου ἑτέρα τις προσπεσεῖται πρὸς τὸν κύκλον ἴση τῇ ΗΖ· μία ἄρα μόνη.

Ἐὰν ἄρα κύκλου ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, ὃ μή ἐστι κέντρον τοῦ κύκλου, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσιν εὐθεῖαί τινες, μεγίστη μὲν ἔσται, ἐφ' ἧς τὸ κέντρον, ἐλαχίστη δὲ ἡ λοιπή, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου τῆς ἀπώτερον μείζων ἐστίν, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ αὐτοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης· ὅπερ ἔδει δεῖξαι.

η΄.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον διαχθῶσιν εὐθεῖαί τινες, ὧν μία μὲν διὰ τοῦ κέντρου, αἱ δὲ λοιπαί, ὡς ἔτυχεν, τῶν μὲν πρὸς τὴν κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη

---

2. ΗΕ] ΕΗ F. εἰσίν] PBF; εἰσί Vp. 4. ἐστιν ἴση p. ἐστίν] ἐστί V. δή] om. V (γάρ add. m. 2), δέ F. 5. ΖΗ] Η eras. V. 6. ἡ] ὡς ἡ BFp. 7. ἡ ΖΚ] e corr. m. 1 V. ἐστιν ἴση Pp. ἀλλά] ἀλλ' BF; ἀλλὰ μὴν καί P. ΖΗ] corr. ex ΖΕ V m. 1. 8. ἴση ἐστίν] om. P; ἴση F; ἐστιν ἴση Vp. ἄρα] om. F. ΖΘ] ΘΖ P. ἴση

et ducatur $Z\Theta$. iam quoniam $HE = E\Theta$, et EZ communis est, duae rectae HE, EZ duabus ΘE, EZ aequales sunt. et $\angle HEZ = \Theta EZ$. itaque $ZH = Z\Theta$. dico igitur, nullam aliam rectae ZH aequalem a puncto Z ad circulum adcidere. si enim fieri potest, adcidat ZK. et quoniam $ZK = ZH$ et $Z\Theta = ZH$, erit etiam $ZK = Z\Theta$, propior remotiori; quod fieri non potest [u. supra]. itaque a puncto Z nulla alia rectae HZ aequalis ad circulum adcidet. ergo una sola.

Ergo si in diametro circuli punctum aliquod sumitur, quod centrum circuli non est, et ab hoc puncto ad circulum rectae aliquot adcidunt, maxima erit ea, in qua est centrum, minima autem reliqua, ceterarum autem proxima quaeque ei, quae per centrum ducta est, remotiore maior est, et duae solae aequales ad circulum adcident a puncto illo in utraque parte minimae; quod erat demonstrandum.

VIII.

Si extra circulum punctum aliquod sumitur, et ab hoc puncto ad circulum rectae aliquot educuntur, quarum una per centrum, ceterae autem utcunque ductae sunt, earum rectarum, quae ad cauam partem am-

VIII. Eutocius in Apollon. p. 12.

ἐστίν V. ἡ] om. F. ἔγγειον P. 9. τῇ] τῆς PBVφ. ἴση] del. August. ἀδύνατον] hic seq. demonstratio alia, quam in app. recepi. 10. σημεῖον] corr. ex σημεῖα m. 1 V. 11. HZ] EZ F. 13. ὃ μή — 19. ἐλαχίστης] καὶ τὰ ἑξῆς PBV et F post ras. 1 litt. 16. δέ] δ' p. 17. ἀπωτέρω p. ἐστί p. εὐθεῖαι ἴσαι p. 19. δεῖξαι] seq. ἑξῆς τὸ θεώρημα V. 22 διαχθῶσι V. 24. ἔτυχε Vp. κοίλην] λ eras. B; κοί- in ras. m. 1 P.


μέν ἐστιν ἡ διὰ τοῦ κέντρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς διὰ τοῦ κέντρου, τῆς ἀπώτερον μείζων ἐστίν, τῶν δὲ πρὸς τὴν κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου, τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς ἐλαχίστης τῆς ἀπώτερόν ἐστιν ἐλάττων, δύο δὲ μόνον ἴσαι ἀπὸ τοῦ σημείου προσπεσοῦνται πρὸς τὸν κύκλον ἐφ' ἑκάτερα τῆς ἐλαχίστης.

Ἔστω κύκλος ὁ $AB\Gamma$, καὶ τοῦ $AB\Gamma$ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπ' αὐτοῦ διήχθωσαν εὐθεῖαί τινες αἱ ΔA, ΔE, ΔZ, $\Delta\Gamma$, ἔστω δὲ ἡ ΔA διὰ τοῦ κέντρου. λέγω, ὅτι τῶν μὲν πρὸς τὴν $AEZ\Gamma$ κοίλην περιφέρειαν προσπιπτουσῶν εὐθειῶν μεγίστη μέν ἐστιν ἡ διὰ τοῦ κέντρου ἡ ΔA, μείζων δὲ ἡ μὲν ΔE τῆς ΔZ ἡ δὲ ΔZ τῆς $\Delta\Gamma$, τῶν δὲ πρὸς τὴν ΘAKH κυρτὴν περιφέρειαν προσπιπτουσῶν εὐθειῶν ἐλαχίστη μέν ἐστιν ἡ ΔH ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου τῆς AH, ἀεὶ

---

1. ἐστιν] ἔσται B. Post κέντρου add. P: ἐλαχίστη δὲ ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου προσπίπτουσα; idem p, omisso προσπίπτουσα; del. m. 2; ἐλαχίστη μέν ἐστιν (hucusque φ) ἡ μεταξὺ τοῦ τε σημείου καὶ τῆς διαμέτρου F, supra scripto β m. 2; supra τῶν lin. 1 scr. α m. 2. δέ] δ' B. 2. ἔγγειον P. ἀπώτερων P, ἀπωτέρω p. 3. ἐστίν] PF; comp. p; ἐστί V; ἔσται B. 4. ἐλαχίστη — 5. διαμέτρου] mg. m. 2 P; om. p et F, supra εὐθειῶν est β m. 2. 5. ἐστιν] PV, ἔσται B. 6. τῶν δὲ ἄλλων] om. p, add. m. 2 PF. δ' B. ἔγγειον P. 7. ἀπωτέρω Pp. ἐλάττων (in ras. m. 1) ἐστίν p. ἐστιν] ἔσται B. ἐλάσσων F. 8. ἴσαι] P m. 1, F; om. p; εὐθεῖαι ἴσαι B; ἴσαι εὐθεῖαι V, P m. 2. τοῦ] τοῦ αὐτοῦ B. 9. πρός] ἴσαι πρός p. 10. Post ἔστω ras. 1 litt. V. καὶ τοῦ $AB\Gamma$] om. F. εἰλήφω φ. 12. τινες] P, F m. 1, V m. 1; τινες πρὸς τὸν κύκλον Bp, F m. 2, V m. 2.
In ipsa propositione Augustus suo arbitrio ordinem uerborum

bitus adcidunt, maxima est, quae per centrum ducta est, ceterarum autem proxima quaeque ei, quae per centrum est, remotiore maior est, rectarum autem ad conuexam partem ambitus adcidentium minima est, quae inter punctum et diametrum posita est, ceterarum autem proxima quaeque minimae remotiore minor, et duae solae rectae a puncto illo ad circulum adcident in utraque parte minimae.



Sit circulus $AB\Gamma$, et extra $AB\Gamma$ sumatur punctum aliquod Δ, et ab eo rectae aliquot educantur ΔA, ΔE, ΔZ, $\Delta\Gamma$, et ΔA per centrum ducta sit. dico, rectarum ad cauam partem ambitus $AEZ\Gamma$ adcidentium maximam esse eam, quae per centrum ducta sit, ΔA, et $\Delta E > \Delta Z$, $\Delta Z > \Delta\Gamma$, earum autem, quae ad conuexam partem ambitus $\Theta\Lambda KH$ adcidant, minimam esse ΔH, quae inter punctum et diametrum AH posita sit, et proximam

---

mutauit, sed parum recte; neque enim Euclides demonstrat ΔA maximam, ΔH minimam esse omnium rectarum a Δ adcidentium, quod tamen inde facile sequitur, quod rectae ad $\Theta\Lambda KH$ adcidentes omnino minores sunt ceteris. Campanus omisit p. 182 l. 23: *ὧν μία* — 25. *εὐθειῶν*, cetera ut nos praebet. Eutocius p. 182, 24—25 et p. 184, 3—4 ut nos legit.
15. Post ΔA add. *ἐλαχίστη δὲ ἡ μεταξὺ τοῦ Δ σημείου καὶ τῆς διαμέτρου τῆς AH* BFV; idem P (*ΔH* pro *AH*) et p addito *τε* ante Δ et supra *μεταξύ* scripto *ἡ ΔH*; *ἐλαχίστη δὲ ἡ μεταξὺ τοῦ σημείου καὶ τῆς διαμέτρου τῆς AH* ed. Basil.
16. *τῆς*] (alt.) *τῇ* FV. 17. *ΘΛKH*] *K* corr. ex *H* V m. 1.
18. *ἐλαχίστη* — 19. *AH*] om. PBFVp, ed. Basil.; corr. Gregorius. 19. *ἀεί*] *αἰεί* F.

δὲ ἡ ἔγγιον τῆς ΔΗ ἐλαχίστης ἐλάττων ἐστὶ τῆς ἀπώτερον, ἡ μὲν ΔΚ τῆς ΔΛ, ἡ δὲ ΔΛ τῆς ΔΘ.

Εἰλήφθω γὰρ τὸ κέντρον τοῦ ΑΒΓ κύκλου καὶ ἔστω τὸ Μ· καὶ ἐπεζεύχθωσαν αἱ ΜΕ, ΜΖ, ΜΓ, ΜΚ, ΜΛ, ΜΘ.

Ἐὰν ἄρα κύκλου ἐφάπτηταί τις εὐθεῖα, ἀπὸ δὲ τῆς ἁφῆς εἰς τὸν κύκλον διαχθῇ τις εὐθεῖα τέμνουσα τὸν κύκλον, ἃς ποιεῖ γωνίας πρὸς τῇ ἐφαπτομένῃ, ἴσαι ἔσονται ταῖς ἐν τοῖς ἐναλλὰξ τοῦ κύκλου τμήμασι γωνίαις· ὅπερ ἔδει δεῖξαι.

---

1. $B\Delta$] in ras. m. 1 P; inter B et Δ insert. Γ m. 2 F. 2. $\Delta\Gamma$, ΓB] litt. $\Gamma\Gamma B$ in ras. m. 2 p. 4. καὶ ἀπό] ἀπὸ δέ P. τῆς] P; τῆς κατὰ τὸ B Theon (BFVp). 5. BA] (bis) AB F. 6. ἐστίν P. 6. ἡ BA — 7. κύκλου] om. Bp. 7. ἐστίν P, ut lin. 9. 10. 12. 14. ἡ ἄρα ἡ V. 8. ἐστιν] PV, comp. p; ἐστι BF. 9. μιᾷ ὀρθῇ] mg. P. 14. αἱ] καὶ αἱ FV. 15. γωνίαι] post hoc uocabulum in FV mg. m. 2 add.

in arcu $B\Delta$ sumatur quodlibet punctum Γ, et ducantur $A\Delta$, $\Delta\Gamma$, ΓB. et quoniam circulum $AB\Gamma\Delta$ contingit recta EZ in B, et a puncto contactus ad contingentem perpendicularis ducta est BA, in BA centrum erit circuli $AB\Gamma\Delta$ [prop. XIX]. itaque BA diametrus est circuli $AB\Gamma\Delta$. quare $\angle A\Delta B$, qui in semicirculo positus est, rectus est [prop. XXXI]. ergo reliqui

$$B A \Delta + A B \Delta$$

uni recto aequales sunt [I, 32]. uerum etiam $\angle ABZ$ rectus est. itaque $\angle ABZ = BA\Delta + AB\Delta$. subtrahatur, qui communis est, $\angle AB\Delta$. itaque

$$\angle \Delta BZ = BA\Delta,$$

qui in alterno segmento circuli positus est. et quoniam quadrilaterum in circulo positum est $AB\Gamma\Delta$, oppositi anguli eius duobus rectis aequales sunt [prop. XXII]. sed etiam $\angle \Delta BZ + \Delta BE$ duobus rectis sunt aequales [I, 13]. itaque

$$\Delta BZ + \Delta BE = BA\Delta + B\Gamma\Delta,$$

quorum $\angle BA\Delta = \Delta BZ$, ut demonstratum est. itaque $\angle \Delta BE = \Delta\Gamma B$, qui in alterno segmento circuli $\Delta\Gamma B$ positus est.

Ergo si recta circulum contingit, et a puncto contactus in circulum producitur recta secans circulum, anguli, quos haec cum contingenti efficit, aequales erunt angulis in alternis segmentis circuli positis; quod erat demonstrandum.

αἱ ὑπὸ BAΔ, ΔΓB. 15. *εἰσὶ δέ* — 16. *ἴσαι*] P (*εἰσίν*); om. Theon (BFVp). 17. *ΔBZ*] litt. *ΔB* e corr. m. 1 F. In p seq. mg. m. 1: *αἵ εἰσι δυσὶν ὀρθαῖς ἴσαι διὰ τὸ εὐθεῖαν τὴν ΔB ἐπ' εὐθείαν* (*-αν* non liquet) *τὴν EZ ὡς ἔτυχε ἑστάναι.* 24. *τοῖς*] insert. m. 2 F.

λγ'.

Ἐπὶ τῆς δοθείσης εὐθείας γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Γ· δεῖ δὴ ἐπὶ τῆς δοθείσης εὐθείας τῆς AB γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Ἡ δὴ πρὸς τῷ Γ [γωνία] ἤτοι ὀξεῖά ἐστιν ἢ ὀρθὴ ἢ ἀμβλεῖα· ἔστω πρότερον ὀξεῖα, καὶ ὡς ἐπὶ τῆς πρώτης καταγραφῆς συνεστάτω πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ A σημείῳ τῇ πρὸς τῷ Γ γωνίᾳ ἴση ἡ ὑπὸ $BA\Delta$· ὀξεῖα ἄρα ἐστὶ καὶ ἡ ὑπὸ $BA\Delta$. ἤχθω τῇ ΔA πρὸς ὀρθὰς ἡ AE, καὶ τετμήσθω ἡ AB δίχα κατὰ τὸ Z, καὶ ἤχθω ἀπὸ τοῦ Z σημείου τῇ AB πρὸς ὀρθὰς ἡ ZH, καὶ ἐπεζεύχθω ἡ HB.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ AZ τῇ ZB, κοινὴ δὲ ἡ ZH, δύο δὴ αἱ AZ, ZH δύο ταῖς BZ, ZH ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ AZH [γωνίᾳ] τῇ ὑπὸ BZH ἴση· βάσις ἄρα ἡ AH βάσει τῇ BH ἴση ἐστίν. ὁ ἄρα κέντρῳ μὲν τῷ H διαστήματι δὲ τῷ HA κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ B. γεγράφθω καὶ ἔστω ὁ ABE, καὶ ἐπεζεύχθω ἡ EB. ἐπεὶ οὖν ἀπ' ἄκρας τῆς AE διαμέτρου ἀπὸ τοῦ A τῇ AE πρὸς ὀρθάς ἐστιν

XXXIII. [Euclid.] opt. 47 (Studien p. 122). Simplicius in phys. fol. 14. Boetius p. 388, 20—21?


1. λε' F. 5. ἡ] (primum) om. p. 8. τῷ] τῇ PF. Γ] P; Γ γωνίᾳ Theon (BFVp). 9. δή] scripsi; δέ P; ἄρα m. 2 FV; γάρ Bp, F m. 1. γωνία] P; om. BFVp; in F add. m. rec. ἤ] supra scr. m. 2 V. 10. πρότερον] πρῶτον V. καὶ ὡς] P, F (καί del. m. 2); ὡς Bp, e corr. V.

XXXIII.

In data recta segmentum circuli construere, quod angulum capiat aequalem dato angulo rectilineo.

Sit data recta AB, et datus angulus rectilineus is, qui ad Γ positus est. oportet igitur in data recta AB segmentum circuli construere, quod angulum capiat aequalem angulo ad Γ posito.

angulus igitur ad Γ positus aut acutus est aut rectus aut obtusus. sit prius acutus, et, ut in prima figura, ad AB rectam et punctum A construatur angulus aequalis angulo ad Γ posito $\angle BA\Delta$ [I, 23]. itaque $\angle BA\Delta$ acutus est. ducatur ad ΔA perpendicularis AE, et AB in duas partes aequales secetur in Z, et a Z puncto ad AB perpendicularis ducatur ZH, et ducatur HB.



et quoniam $AZ = ZB$, et communis est ZH, duae rectae AZ, ZH duabus BZ, ZH aequales sunt; et $\angle AZH = BZH$. itaque $AH = BH$ [I, 4]. quare circulus centro H radio autem HA descriptus etiam per B ueniet. describatur et sit ABE, et ducatur EB. iam quoniam ab A termino diametri AE ad AE per-

---

11. καταστροφῆς φ. καὶ συνεστάτω Bpφ; καί om. P, m. 2 V. 12. *A* σημείῳ] πρὸς αὐτῇ σημείῳ τῷ *A* V. 13. ἐστίν PF. καὶ ἤχθω Bp. *ΔA*] *AΔ* BVp. Dein add. ἀπὸ τοῦ *A* σημείου Bp, P m. rec. 14. *AE*] *E* in ras. V. καὶ τετμήσθω ἡ *AB*] mg. m. 2 F. 18. *δύο*] (alt.) *δυσί* Vp. *BZ*] *ZB* Bp, FV m 2. *εἰσί* Vp. 19. *γωνίᾳ*] P; om. BFVp. *BZH*] P; *HZB* Bp, V (sed *H* et *B* in ras.); *ZB* supra scr. *H* m. 1 F. ἴση ἐστί V. 20. *BH*] *HB* F. 23. *EB*] *BE* P.

ἡ *ΑΔ*, ἡ *ΑΔ* ἄρα ἐφάπτεται τοῦ *ΑΒΕ* κύκλου· ἐπεὶ οὖν κύκλου τοῦ *ΑΒΕ* ἐφάπτεταί τις εὐθεῖα ἡ *ΑΔ*, καὶ ἀπὸ τῆς κατὰ τὸ *Α* ἁφῆς εἰς τὸν *ΑΒΕ* κύκλον διῆκταί τις εὐθεῖα ἡ *ΑΒ*, ἡ ἄρα ὑπὸ *ΔΑΒ* γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ *ΑΕΒ*. ἀλλ' ἡ ὑπὸ *ΔΑΒ* τῇ πρὸς τῷ *Γ* ἐστιν ἴση· καὶ ἡ πρὸς τῷ *Γ* ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ *ΑΕΒ*.

Ἐπὶ τῆς δοθείσης ἄρα εὐθείας τῆς *ΑΒ* τμῆμα κύκλου γέγραπται τὸ *ΑΕΒ* δεχόμενον γωνίαν τὴν ὑπὸ *ΑΕΒ* ἴσην τῇ δοθείσῃ τῇ πρὸς τῷ *Γ*.

Ἀλλὰ δὴ ὀρθὴ ἔστω ἡ πρὸς τῷ *Γ*· καὶ δέον πάλιν ἔστω ἐπὶ τῆς *ΑΒ* γράψαι τμῆμα κύκλου δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ *Γ* ὀρθῇ [γωνίᾳ]. συνεστάτω [πάλιν] τῇ πρὸς τῷ *Γ* ὀρθῇ γωνίᾳ ἴση ἡ ὑπὸ *ΒΑΔ*, ὡς ἔχει ἐπὶ τῆς δευτέρας καταγραφῆς, καὶ τετμήσθω ἡ *ΑΒ* δίχα κατὰ τὸ *Ζ*, καὶ κέντρῳ τῷ *Ζ*, διαστήματι δὲ ὁποτέρῳ τῶν *ΖΑ*, *ΖΒ*, κύκλος γεγράφθω ὁ *ΑΕΒ*.


Ἐφάπτεται ἄρα ἡ *ΑΔ* εὐθεῖα τοῦ *ΑΒΕ* κύκλου διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς τῷ *Α* γωνίαν. καὶ ἴση ἐστὶν ἡ ὑπὸ *ΒΑΔ* γωνία τῇ ἐν τῷ *ΑΕΒ* τμήματι· ὀρθὴ γὰρ καὶ αὐτὴ ἐν ἡμικυκλίῳ οὖσα. ἀλλὰ καὶ ἡ ὑπὸ *ΒΑΔ* τῇ πρὸς τῷ *Γ* ἴση ἐστίν. καὶ ἡ ἐν τῷ *ΑΕΒ* ἄρα ἴση ἐστὶ τῇ πρὸς τῷ *Γ*.

---

1. *ΑΕΒ*] om. Bp; supra est ras. in V. ἐπεὶ οὖν] PFV (γρ. καὶ ἐπεί F mg.), καὶ ἐπεί Bp. 2. τοῦ *ΑΒΕ* κύκλου Bp. *ΑΒΕ*] *ΑΕΒ* e corr. V. 4. ἐστίν PB. 5. ἐν τῷ] om. P. 6. ἀλλά P. *ΔΑΒ*] litt. *ΔΑ* in ras. m. 1 P, dein add. τῆι ὑπὸ *ΑΕΒ*, del. m. 1. 7. ἐστίν P. 8. ἐπί] -ι e corr. m. 2 V. *ΑΒ*] *Α* eras. p. τμῆμα κύκλου F. 9. *ΕΑΒ* F. 10. τῇ] (alt.) om. F. 11. ἔστω πάλιν P. 13. γωνίᾳ] P; om. BFVp. 14. πάλιν] F; om. P; γὰρ πάλιν BVp. 16. μὲν τῷ V. 19. *ΑΒΕ*] corr. ex *ΑΒΓ* m. 1 P. 20. γωνίαν]

pendicularis ducta est $AΔ$, recta $AΔ$ circulum ABE contingit [prop. XVI πόρ.]. iam quoniam circulum ABE contingit recta $AΔ$, et ab A puncto contactus in circulum ABE producta est recta AB, erit $\angle ΔAB = AEB$, qui in alterno segmento circuli positus est [prop. XXXII]. uerum $\angle ΔAB$ angulo ad $Γ$ posito aequalis est. itaque angulus ad $Γ$ positus angulo AEB aequalis est. ergo in data recta AB segmentum circuli AEB descriptum est, quod angulum capiat AEB angulo dato, qui ad $Γ$ positus est, aequalem.

iam uero angulus ad $Γ$ positus rectus sit. et rursus propositum sit, ut in recta AB segmentum circuli describatur, quod capiat angulum recto angulo ad $Γ$ posito aequalem. construatur rursus angulus $BAΔ$ recto angulo ad $Γ$ posito aequalis, ut in secunda figura factum est, et AB in Z in duas partes aequales secetur, et centro Z radio autem alterutra rectarum ZA, ZB circulus describatur AEB. itaque recta $AΔ$ circulum ABE contingit, quia angulus ad A positus rectus est [prop. XVI πόρ.]. et $\angle BAΔ$ angulo in segmento AEB posito aequalis est; nam hic et ipse rectus est, quia in semicirculo positus est [prop. XXXI]. uerum $\angle BAΔ$ etiam angulo ad $Γ$ posito aequalis est. ergo etiam angulus in segmento AEB positus aequalis est an-



---

m. 2 V. ἴση] PF; om. BVp. 21. τμήματι ἴση BVp; supra τμήματι in F duae litt. eras. ($γ^ω$?). 22. ἐν] m. rec. P. καί] PF; om. BVp. 23. ἐστιν ἴση BVp. καί — 24. τῷ Γ] om. Bp; supra est ras. in V. 24. AEB] in ras. m. 2 V. Dein add. τμήματι P m. rec. ἴση ἐστί] P (ἐστίν); om. V; ras. 6 litt. F. Γ] P, F m. 1; ἴση ἐστίν add. F m. 2; Γ ἐστιν ἴση V.

Γέγραπται ἄρα πάλιν ἐπὶ τῆς AB τμῆμα κύκλου τὸ AEB δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ.

Ἀλλὰ δὴ ἡ πρὸς τῷ Γ ἀμβλεῖα ἔστω· καὶ συνεστάτω αὐτῇ ἴση πρὸς τῇ AB εὐθείᾳ καὶ τῷ A σημείῳ ἡ ὑπὸ BAΔ, ὡς ἔχει ἐπὶ τῆς τρίτης καταγραφῆς, καὶ τῇ AΔ πρὸς ὀρθὰς ἤχθω ἡ AE, καὶ τετμήσθω πάλιν ἡ AB δίχα κατὰ τὸ Z, καὶ τῇ AB πρὸς ὀρθὰς ἤχθω ἡ ZH, καὶ ἐπεζεύχθω ἡ HB.


Καὶ ἐπεὶ πάλιν ἴση ἐστὶν ἡ AZ τῇ ZB, καὶ κοινὴ ἡ ZH, δύο δὴ αἱ AZ, ZH δύο ταῖς BZ, ZH ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ AZH γωνίᾳ τῇ ὑπὸ BZH ἴση· βάσις ἄρα ἡ AH βάσει τῇ BH ἴση ἐστίν· ὁ ἄρα κέντρῳ μὲν τῷ H διαστήματι δὲ τῷ HA κύκλος γραφόμενος ἥξει καὶ διὰ τοῦ B. ἐρχέσθω ὡς ὁ AEB. καὶ ἐπεὶ τῇ AE διαμέτρῳ ἀπ' ἄκρας πρὸς ὀρθάς ἐστιν ἡ AΔ, ἡ AΔ ἄρα ἐφάπτεται τοῦ AEB κύκλου. καὶ ἀπὸ τῆς κατὰ τὸ A ἐπαφῆς διῆκται ἡ AB· ἡ ἄρα ὑπὸ BAΔ γωνία ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι τῷ AΘB συνισταμένῃ γωνίᾳ. ἀλλ' ἡ ὑπὸ BAΔ γωνία τῇ πρὸς τῷ Γ ἴση ἐστίν. καὶ ἡ ἐν τῷ AΘB ἄρα τμήματι γωνία ἴση ἐστὶ τῇ πρὸς τῷ Γ.

Ἐπὶ τῆς ἄρα δοθείσης εὐθείας τῆς AB γέγραπται τμῆμα κύκλου τὸ AΘB δεχόμενον γωνίαν ἴσην τῇ πρὸς τῷ Γ· ὅπερ ἔδει ποιῆσαι.

---

2. *ABE* P. *Γ ὀρθῇ* V, F m. rec. 4. *ἴση*] m. rec. P. *A*] *ἐπ' αὐτῇ* m. 2 supra scr. F. 9. *ZB*] in ras. F. *καὶ κοινή*] *κοινὴ δέ* FV. 10. *ZH*] (alt.) *H* in ras. m. 1 B. *δύο*] PB, *δυσὶ* F m. 1; *δυσί* Vp. 11. *εἰσί* V|p. 12. Post *ἴση* add. *ἐστί* V, F m. 2. 13. *HA*] corr. ex *A* m. rec. P. 15. *ἐπεί*] corr. ex *ἐπί* m. 2 F. *ἐστιν*] P; cfr. p. 250, 24; *ἦκται* Theon (BFVp). 16. *AEB*] litt. *EB* in ras. F. 17. *ἡ*] (prius) in ras. m. 2 V. 18. *ἐστίν* P. 19. *AΘB*] litt. *ΘB*

gulo ad Γ posito. ergo rursus in AB segmentum circuli descriptum est AEB, quod angulum capiat aequalem angulo ad Γ posito.



iam uero angulus ad Γ positus obtusus sit, et ad rectam AB et punctum A ei aequalis construatur $\angle BA\Delta$, ut in tertia figura factum est, et ad $A\Delta$ perpendicularis ducatur AE, et rursus AB in Z in duas partes aequales secetur, et ad AB perpendicularis ducatur ZH, et ducatur HB. et quoniam rursus $AZ = ZB$, et ZH communis est, duae rectae AZ, ZH duabus BZ, ZH aequales sunt; et $\angle AZH = BZH$. itaque $AH = BH$ [I, 4]. itaque circulus centro H et radio HA descriptus etiam per B ueniet. cadat ut AEB. et quoniam ad diametrum AE in termino perpendicularis ducta est $A\Delta$, recta $A\Delta$ circulum AEB contingit [prop. XVI πόρ.]. et ab A puncto contactus producta est AB. itaque $\angle BA\Delta$ angulo in alterno segmento circuli, $A\Theta B$, constructo aequalis est [prop. XXXII]. sed $\angle BA\Delta$ angulo ad Γ posito aequalis est. quare etiam angulus in $A\Theta B$ segmento positus angulo ad Γ posito aequalis est.

Ergo in data recta AB segmentum circuli constructum est $A\Theta B$, quod angulum angulo ad Γ posito aequalem capiat; quod oportebat fieri.

---

in ras. m. 2 V. *συνεσταμένῃ* PF. *ἀλλά* P. 20. *ἐστί* V. 21. *γωνία*] om. V. *ἐστίν* P. 22. *ἄρα δοθείσης*] PF; *δοθείσης ἄρα* BVp. *AB*] in ras. FV. 23. *δεχόμενον*] corr. ex *ἐχόμενον* m. 1 P.

λδ'.

Ἀπὸ τοῦ δοθέντος κύκλου τμῆμα ἀφελεῖν δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ $AB\Gamma$, ἡ δὲ δοθεῖσα γωνία εὐθύγραμμος ἡ πρὸς τῷ Δ· δεῖ δὴ ἀπὸ τοῦ $AB\Gamma$ κύκλου τμῆμα ἀφελεῖν δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ.

Ἤχθω τοῦ $AB\Gamma$ ἐφαπτομένη ἡ EZ κατὰ τὸ B σημεῖον, καὶ συνεστάτω πρὸς τῇ ZB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ B τῇ πρὸς τῷ Δ γωνίᾳ ἴση ἡ ὑπὸ $ZB\Gamma$.

Ἐπεὶ οὖν κύκλου τοῦ $AB\Gamma$ ἐφάπτεταί τις εὐθεῖα ἡ EZ, καὶ ἀπὸ τῆς κατὰ τὸ B ἐπαφῆς διῆκταί τις ἡ $B\Gamma$, ἡ ὑπὸ $ZB\Gamma$ ἄρα γωνία ἴση ἐστὶ τῇ ἐν τῷ $BA\Gamma$ ἐναλλὰξ τμήματι συνισταμένῃ γωνίᾳ. ἀλλ' ἡ ὑπὸ $ZB\Gamma$ τῇ πρὸς τῷ Δ ἐστιν ἴση· καὶ ἡ ἐν τῷ $BA\Gamma$ ἄρα τμήματι ἴση ἐστὶ τῇ πρὸς τῷ Δ [γωνίᾳ].

Ἀπὸ τοῦ δοθέντος ἄρα κύκλου τοῦ $AB\Gamma$ τμῆμα ἀφῄρηται τὸ $BA\Gamma$ δεχόμενον γωνίαν ἴσην τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ τῇ πρὸς τῷ Δ· ὅπερ ἔδει ποιῆσαι.

λε'.


Ἐὰν ἐν κύκλῳ δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχό-

---

1. λς' F. 6. δεῖ δή — 7. ἀφελεῖν] om. F; add. m. 2 mg. 7. γωνία φ. τῇ δοθείσῃ γωνίᾳ εὐθυγράμμῳ] P; om. Theon (BFVp). 8. Δ] Δ γωνία Bp, F m. 2, V m. 2. 9. $AB\Gamma$ κύκλου V, sed κύκλου punctis notat. ἡ] εὐθεῖα ἡ V, F m. rec. B] corr. ex Γ m. 2 F. 10. ZB] BZ P. 11. τῷ] (alt.) τῇ p; corr. m. 2. 13. $AB\Gamma$ κατὰ τὸ B V, F m. rec. τις] m. 2 F. 15. γωνία] om. Bp. ἴση ἐστί] om.

XXXIV.

A dato circulo segmentum auferre, quod angulum capiat dato angulo rectilineo aequalem.



Sit datus circulus $AB\Gamma$, et datus angulus rectilineus is, qui ad Δ positus est. oportet igitur a circulo $AB\Gamma$ segmentum circuli auferre, quod capiat angulum aequalem dato angulo rectilineo, qui ad Δ positus est.

ducatur EZ circulum $AB\Gamma$ contingens in puncto B, et ad rectam ZB et punctum eius B angulo ad Δ posito aequalis construatur $ZB\Gamma$ [I, 23].

iam quoniam circulum $AB\Gamma$ contingit recta EZ, et a puncto contactus B producta est $B\Gamma$, $\angle ZB\Gamma$ aequalis est angulo in $BA\Gamma$ alterno segmento constructo [prop. XXXII]. uerum $\angle ZB\Gamma$ angulo ad Δ posito aequalis est. quare etiam angulus in segmento $BA\Gamma$ positus aequalis est angulo ad Δ posito.

Ergo a dato circulo $AB\Gamma$ segmentum ablatum est $BA\Gamma$, quod capiat angulum aequalem dato angulo rectilineo, qui ad Δ positus est; quod oportebat fieri.

XXXV.

Si in circulo duae rectae inter se secant, rectan-

V. $BA\Gamma$] BA e corr. m. 2 V; $AB\Gamma$ F. 16. *συνεσταμένη* F. *γωνία ἴση ἐστίν* V. *τῇ*] *γωνία ἴση ἐστί τῇ* V. 17. *ἐστιν ἴση*] om. V. *τμήματι*] P; *τμήματι γωνία* Theon (BFVp). 18. *ἐστίν* P. *γωνίᾳ*] P; om. BFVp. 19. *τοῦ*] (alt.) om. F. *τμῆμα τι* V et corr. ex *τμήματι* F. 22. *λε΄*] euan. F.

μενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ.

Ἐν γὰρ κύκλῳ τῷ ΑΒΓΔ δύο εὐθεῖαι αἱ ΑΓ, ΒΔ τεμνέτωσαν ἀλλήλας κατὰ τὸ Ε σημεῖον· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Εἰ μὲν οὖν αἱ ΑΓ, ΒΔ διὰ τοῦ κέντρου εἰσὶν ὥστε τὸ Ε κέντρον εἶναι τοῦ ΑΒΓΔ κύκλου, φανερόν, ὅτι ἴσων οὐσῶν τῶν ΑΕ, ΕΓ, ΔΕ, ΕΒ καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Μὴ ἔστωσαν δὴ αἱ ΑΓ, ΔΒ διὰ τοῦ κέντρου, καὶ εἰλήφθω τὸ κέντρον τοῦ ΑΒΓΔ, καὶ ἔστω τὸ Ζ, καὶ ἀπὸ τοῦ Ζ ἐπὶ τὰς ΑΓ, ΔΒ εὐθείας κάθετοι ἤχθωσαν αἱ ΖΗ, ΖΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΖΒ, ΖΓ, ΖΕ.

Καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΗΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἴση ἄρα ἡ ΑΗ τῇ ΗΓ. ἐπεὶ οὖν εὐθεῖα ἡ ΑΓ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Η, εἰς δὲ ἄνισα κατὰ τὸ Ε, τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ τῆς ΕΗ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΗΓ· [κοινὸν] προσκείσθω τὸ ἀπὸ τῆς ΗΖ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τῶν ἀπὸ τῶν ΗΕ, ΗΖ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΓΗ, ΗΖ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΕΗ, ΗΖ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΖΕ, τοῖς δὲ ἀπὸ τῶν ΓΗ, ΗΖ ἴσον


---

3. γάρ] γὰρ τῷ BFVp. *ΑΓ, ΒΔ*] litt. *Γ, Β* in ras. m. 2 V; *Γ, ΒΔ* in ras. m. 1 B; *ΑΓ, ΔΒ* F. 6. *τῶν*] om. P. 8. *ΒΔ*] *ΔΒ* F. *εἰσίν*] *ὦσιν* V. 10. *ΕΓ*] in ras. m. 2 V. 13. *μὴ ἔστωσαν δή*] P, F (mg. m. 2: *γρ. ἔστωσαν δή*); *ἔστωσαν δή* BVp. *ΑΓ, ΔΒ*] litt. *Γ, ΔΒ* in ras. m. 2 V. *διά*] PF, V m. 1, p

gulum comprehensum partibus alterius aequale est rectangulo comprehenso partibus alterius.

nam in circulo $AB\Gamma\Delta$ duae rectae $A\Gamma$, $B\Delta$ inter se secent in E puncto. dico, esse

$$AE \times E\Gamma = \Delta E \times EB.$$




iam si $A\Gamma$, $B\Delta$ per centrum ductae sunt, ita ut E centrum sit circuli $AB\Gamma\Delta$, manifestum est, esse

$$AE \times E\Gamma = \Delta E \times EB,$$

cum aequales sint AE, $E\Gamma$, ΔE, EB.

ne sint igitur $A\Gamma$, ΔB per centrum ductae. et sumatur centrum circuli $AB\Gamma\Delta$, et sit Z, et a Z ad rectas $A\Gamma$, ΔB perpendiculares ducantur ZH, $Z\Theta$ et ducantur ZB, $Z\Gamma$, ZE. et quoniam recta per centrum ducta HZ aliam rectam $A\Gamma$ non per centrum ductam ad rectos angulos secat, eadem eam in duas partes aequales secat [prop. III]. itaque $AH = H\Gamma$. iam quoniam recta $A\Gamma$ in partes aequales diuisa est in H, in inaequalss autem in E, erit $AE \times E\Gamma + HE^2 = H\Gamma^2$ [II,5]. commune adiiciatur HZ^2. itaque



$$AE \times E\Gamma + HE^2 + HZ^2 = \Gamma H^2 + HZ^2.$$

uerum $ZE^2 = EH^2 + HZ^2$ et

---

m. 1; *μὴ διά* B, V m. 2, p m. 2. *καί*] mg. m. 2 F. 14. $AB\Gamma\Delta$] litt. $\Gamma\Delta$ in ras. m. 2 V. Dein add. *κύκλου* P m. rec., F postea insert., V m. 2. 17. HZ] ZH P. 18. *μή*] postea insert. F. 19. *τέμνει*] (alt.) PFV; *τεμεῖ* Bp (F m. 2). 22. HE V m. 1, corr. m. 2. 23. $H\Gamma$ *τετραγώνῳ* V. *κοινόν*] om. P, post *προσκείσθω* add. m. rec. 25. HE, HZ] alt. H e corr. m. 2 V; ZH, HE P (ZH corr. ex ZE m. rec.). *ἴσα* P. *ἐστίν* PB.

ἐστὶ τὸ ἀπὸ τῆς ΖΓ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΓ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΖ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΒ. ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον τῷ ἀπὸ τῆς ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΕ, ΕΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ μετὰ τοῦ ἀπὸ τῆς ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΕ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΕ, ΕΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΕ, ΕΒ περιεχομένῳ ὀρθογωνίῳ.

Ἐὰν ἄρα ἐν κύκλῳ εὐθεῖαι δύο τέμνωσιν ἀλλήλας, τὸ ὑπὸ τῶν τῆς μιᾶς τμημάτων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν τῆς ἑτέρας τμημάτων περιεχομένῳ ὀρθογωνίῳ· ὅπερ ἔδει δεῖξαι.

λς'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται, ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ.

Κύκλου γὰρ τοῦ ΑΒΓ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν ΑΒΓ κύκλον προσ-

---

6. ἐδείχθη δέ] ὥστε P; mg. m. rec.: γρ. ἐδείχθη δέ. ἐδείχθη — 8. ΖΒ] om. p. 11. περιεχόμενον ὀρθογώνιον] mg. m. 2 V. 12. τῷ] τό φ. 15. ὑπὸ τῆς μιᾶς τῶν P. 16.

$$Z\Gamma^2 = \Gamma H^2 + HZ^2 \text{ [I, 47]}.$$

itaque $A E \times E\Gamma + Z E^2 = Z\Gamma^2$. sed $Z\Gamma = ZB$. itaque $A E \times E\Gamma + E Z^2 = Z B^2$. eadem de causa[1]) erit $\Delta E \times E B + Z E^2 = Z B^2$. sed demonstratum est etiam $A E \times E\Gamma + Z E^2 = Z B^2$. itaque

$$A E \times E\Gamma + Z E^2 = \Delta E \times E B + Z E^2.$$

subtrahatur, quod commune est, $Z E^2$. itaque

$$A E \times E\Gamma = \Delta E \times E B.$$

Ergo si in circulo duae rectae inter se secant, rectangulum comprehensum partibus alterius aequale est rectangulo comprehenso partibus alterius; quod erat demonstrandum.

XXXVI.

Si extra circulum punctum sumitur, et ab eo ad circulum adcidunt duae rectae, et altera harum circulum secat, altera contingit, rectangulum comprehensum tota recta secanti et parte eius extrinsecus inter punctum et partem ambitus conuexam abscisa aequale erit quadrato contingentis.

Nam extra circulum $AB\Gamma$ sumatur punctum Δ, et a Δ ad circulum $AB\Gamma$ adcidant duae rectae $\Delta\Gamma A$,

1) $B\Theta = \Theta\Delta$ (prop. III). $BE \times E\Delta + E\Theta^2 = B\Theta^2$ (II, 5).
$BE \times E\Delta + E\Theta^2 + Z\Theta^2 = B\Theta^2 + Z\Theta^2 = BZ^2$
$= BE \times E\Delta + ZE^2$ (I, 47).

τμημάτων] τῶν τμημάτων p. 17. ὅπερ ἔδει δεῖξαι] ὅπερ φ. 18. λη΄ F; corr. m. 2. 20. προσπίπτωσιν P. 22. ἔσται] om. FV. τῆς ὅλης τῆς p, F m. 2. 24. περιφερείας] PBFp; add. περιεχόμενον ὀρθογώνιον V, F mg. m. 1. 25. ἴσον ἐστί FV.

πιπτέτωσαν δύο εὐθεῖαι αἱ ΔΓ[Α], ΔΒ· καὶ ἡ μὲν ΔΓΑ τεμνέτω τὸν ΑΒΓ κύκλον, ἡ δὲ ΒΔ ἐφαπτέσθω· λέγω, ὅτι τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ τετραγώνῳ.

Ἡ ἄρα [Δ]ΓΑ ἤτοι διὰ τοῦ κέντρου ἐστὶν ἢ οὔ. ἔστω πρότερον διὰ τοῦ κέντρου, καὶ ἔστω τὸ Ζ κέντρον τοῦ ΑΒΓ κύκλου, καὶ ἐπεζεύχθω ἡ ΖΒ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΖΒΔ. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ δίχα τέτμηται κατὰ τὸ Ζ, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ, τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. ἴση δὲ ἡ ΖΓ τῇ ΖΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. τῷ δὲ ἀπὸ τῆς ΖΔ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΖΒ, ΒΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΖΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ ἐφαπτομένης.


ἀλλὰ δὴ ἡ ΔΓΑ μὴ ἔστω διὰ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου, καὶ εἰλήφθω τὸ κέντρον τὸ Ε, καὶ ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΓ κάθετος ἤχθω ἡ ΕΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΕΒ, ΕΓ, ΕΔ· ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ ΕΒΔ. καὶ ἐπεὶ εὐθεῖά τις διὰ τοῦ κέντρου ἡ ΕΖ εὐθεῖάν τινα μὴ διὰ τοῦ κέντρου τὴν ΑΓ πρὸς ὀρθὰς τέμνει, καὶ δίχα αὐτὴν τέμνει· ἡ ΑΖ ἄρα τῇ ΖΓ ἐστιν ἴση. καὶ ἐπεὶ εὐθεῖα ἡ ΑΓ τέτμηται δίχα

---

1. ΔΓΑ] ΔΓ F, P (postea insert. Α). 2. ΔΒ B. 3. ΑΔ] in ras. p; Δ in ras. m. 2 V, insert. m. 2 B, m. rec. P. ΔΓ] Γ F; corr. m. 2; ΓΔ in ras. p. 5. ἄρα] om. BFVp. ΔΓΑ] ΓΑ P, ΔΑΓ F, sed corr. 8. ΑΓ] Γ e corr. m. 2 V. 10. ΑΔ] Δ in ras. m. 2 V. ΔΓ] supra m. 2 F; Γ P, corr. m. rec. τοῦ ἀπὸ τῆς] τὸ ὑπό F; corr. m. 2. 11. ΖΔ] ΖΑ F?

ΔB, et $\Delta\Gamma A$ circulum $AB\Gamma$ secet, $B\Delta$ autem contingat. dico, esse $A\Delta \times \Delta\Gamma = \Delta B^2$.

recta $\Delta\Gamma A$ igitur aut per centrum ducta est aut non per centrum. sit prius per centrum ducta, et centrum circuli $AB\Gamma$ sit Z, et ducatur ZB. itaque $\angle ZB\Delta$ rectus est [prop. XVIII]. et quoniam recta $A\Gamma$ in Z in duas partes aequales diuisa est, et ei adiecta est $\Gamma\Delta$, erit




$A\Delta \times \Delta\Gamma + Z\Gamma^2 = Z\Delta^2$ [II, 6]. sed $Z\Gamma = ZB$. quare

$$A\Delta \times \Delta\Gamma + ZB^2 = Z\Delta^2.$$

est autem $Z\Delta^2 = ZB^2 + B\Delta^2$ [I, 47]. itaque $A\Delta \times \Delta\Gamma + ZB^2 = ZB^2 + B\Delta^2$. subtrahatur, quod commune est, ZB^2. itaque $A\Delta \times \Delta\Gamma = \Delta B^2$.

iam ne sit $\Delta\Gamma A$ per centrum ducta circuli $AB\Gamma$, et sumatur centrum E, et ab E ad $A\Gamma$ perpendicularis ducatur EZ, et ducantur EB, $E\Gamma$, $E\Delta$. itaque $\angle EB\Delta$ rectus est [prop. XVIII]. et quoniam recta per centrum ducta EZ rectam non per centrum ductam $A\Gamma$ ad rectos angulos secat, eadem eam in duas partes aequales secat [prop. III]. quare $AZ = Z\Gamma$. et quoniam recta $A\Gamma$ in duas partes aequales secta est in Z puncto et ei adiecta est $\Gamma\Delta$, erit



12. $\Delta\Gamma$] in ras. m. 2 V. ZB] $Z\Gamma$ P, corr. m. rec. 13. $\tau\tilde{\omega}$ $\delta\acute{\epsilon}$] P; $\acute{\iota}\sigma o\nu$ $\delta\grave{\epsilon}$ $\tau\acute{o}$ Theon (BFVp). $\acute{\iota}\sigma\alpha$ $\grave{\epsilon}\sigma\tau\grave{\iota}$ $\tau\acute{\alpha}$] P; $\tau o\acute{\iota}\varsigma$ Theon (BFVp). 14. ZB, $B\Delta$] ΔB, ZB P. Post $B\Delta$ Theon add. $\grave{o}\rho\vartheta\grave{\eta}$ $\gamma\grave{\alpha}\rho$ $\mathring{\eta}$ $\grave{\upsilon}\pi\grave{o}$ $ZB\Delta$ (BVp et F, ubi Δ postea insertum est). 20. $\tau\acute{o}$] (pr.) m. 2 F. 22. EB] corr. ex EZ F. 23. $\delta\iota\acute{\alpha}$] $\mathring{\eta}$ $\delta\iota\acute{\alpha}$ BV. 25. $\tau\acute{\epsilon}\mu\nu\epsilon\iota$] (alt.) $\tau\epsilon\mu\epsilon\tilde{\iota}$ Bp. 26. $Z\Gamma$] in ras. m. 2 V; ΓZ F.

κατὰ τὸ Ζ σημεῖον, πρόσκειται δὲ αὐτῇ ἡ ΓΔ, τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΖΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΖΔ. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς ΖΕ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τῶν ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΖΔ, ΖΕ. τοῖς δὲ ἀπὸ τῶν ΓΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΓ· ὀρθὴ γὰρ [ἐστιν] ἡ ὑπὸ ΕΖΓ [γωνία]· τοῖς δὲ ἀπὸ τῶν ΔΖ, ΖΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΕΔ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. ἴση δὲ ἡ ΕΓ τῇ ΕΒ· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΔ. τῷ δὲ ἀπὸ τῆς ΕΔ ἴσα ἐστὶ τὰ ἀπὸ τῶν ΕΒ, ΒΔ· ὀρθὴ γὰρ ἡ ὑπὸ ΕΒΔ γωνία· τὸ ἄρα ὑπὸ τῶν ΑΔ, ΔΓ μετὰ τοῦ ἀπὸ τῆς ΕΒ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΕΒ, ΒΔ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΕΒ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΑΔ, ΔΓ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔΒ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτός, καὶ ἀπ' αὐτοῦ πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ ἐφάπτηται, ἔσται τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς ἐφαπτομένης τετραγώνῳ· ὅπερ ἔδει δεῖξαι.

λζ'.

Ἐὰν κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύ-

---

1. *σημεῖον*] om. Bp. 2. ΖΓ] ΓΖ P. 4. *τό*] corr. in *τά* m. 1 B, *τά* p. *ΑΔ*] in ras. m. 2 V. 5. *τῶν*] (prius) *τῆς* F. *ἴσον*] P; *ἴσα* BFVp. *ἐστίν* F. *ἀπὸ τῶν*] insert. m. 1

$$A\Delta \times \Delta\Gamma + Z\Gamma^2 + Z\Delta^2 \text{ [II, 6].}$$

commune adiiciatur ZE^2. quare

$$A\Delta \times \Delta\Gamma + \Gamma Z^2 + ZE^2 = Z\Delta^2 + ZE^2.$$

sed $E\Gamma^2 = \Gamma Z^2 + ZE^2$ [I, 47]; nam $\angle EZ\Gamma$ rectus est. et $E\Delta^2 = \Delta Z^2 + ZE^2$ [id.]. itaque

$$A\Delta \times \Delta\Gamma + E\Gamma^2 = E\Delta^2.$$

sed $E\Gamma = EB$. quare $A\Delta \times \Delta\Gamma + EB^2 = E\Delta^2$. sed $EB^2 + B\Delta^2 = E\Delta^2$ [I, 47]; nam $\angle EB\Delta$ rectus est. itaque $A\Delta \times \Delta\Gamma + EB^2 = EB^2 + B\Delta^2$. subtrahatur, quod commune est, EB^2. itaque

$$A\Delta \times \Delta\Gamma = \Delta B^2.$$

Ergo si extra circulum punctum sumitur, et ab eo ad circulum adcidunt duae rectae, et altera harum circulum secat, altera contingit, rectangulum comprehensum tota recta secanti et parte eius extrinsecus inter punctum et partem ambitus conuexam abscisa aequale erit quadrato contingentis; quod erat demonstrandum.

XXXVII.

Si extra circulum punctum sumitur, et ab eo ad circulum adcidunt duae rectae, et altera harum circulum secat, altera adcidit tantum, et rectangulum

---

F. $Z\Delta$] ΔZ P. *τοῖς δέ*] *ἀλλὰ τοῖς* P. 6. ΓZ] P; ΔZ F; $Z\Delta$ BVp. $E\Gamma$] P; ΓE p m. 1; $E\Delta$ BFV, p e corr. 7. *ὀρθὴ γάρ* — 8. *τῆς* $E\Delta$] mg. p. 7. *ἐστιν*] P, om. BFVp. $EZ\Gamma$] supra Γ scr. Δ m. 2 V. *γωνία*] P; om. BFVp. ΔZ] P; ΓZ BFVp. 8. *ἐστί*] om. V. $E\Delta$] P; ΓE BFVp. 9. *τῷ*] F, *τό φ*. 10. $E\Gamma$] ΓE F. 11. *ἐστίν* P, ut lin. 12. $E\Delta$] E corr. in A m. rec. F. 12. *τῶν*] ins. m. rec. F. 13. *γωνία*] m. 2 V. 17. *καὶ ἀπ' αὐτοῦ* — 22. *τετραγώνῳ*] *καὶ τὰ ἑξῆς* PBFV. 20. *τῆς ὅλης τῆς* p. 24. *λθ'* F. 27. *τέμνει* F, corr. m. 1.

κλον, ἡ δὲ προσπίπτη, ᾗ δὲ τὸ ὑπὸ [τῆς] ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης, ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου.

κύκλου γὰρ τοῦ $AB\Gamma$ εἰλήφθω τι σημεῖον ἐκτὸς τὸ Δ, καὶ ἀπὸ τοῦ Δ πρὸς τὸν $AB\Gamma$ κύκλον προσπιπτέτωσαν δύο εὐθεῖαι αἱ $\Delta\Gamma A$, ΔB, καὶ ἡ μὲν $\Delta\Gamma A$ τεμνέτω τὸν κύκλον, ἡ δὲ ΔB προσπιπτέτω, ἔστω δὲ τὸ ὑπὸ τῶν $A\Delta$, $\Delta\Gamma$ ἴσον τῷ ἀπὸ τῆς ΔB. λέγω, ὅτι ἡ ΔB ἐφάπτεται τοῦ $AB\Gamma$ κύκλου.

Ἤχθω γὰρ τοῦ $AB\Gamma$ ἐφαπτομένη ἡ ΔE, καὶ εἰλήφθω τὸ κέντρον τοῦ $AB\Gamma$ κύκλου, καὶ ἔστω τὸ Z, καὶ ἐπεζεύχθωσαν αἱ ZE, ZB, $Z\Delta$. ἡ ἄρα ὑπὸ $ZE\Delta$ ὀρθή ἐστιν. καὶ ἐπεὶ ἡ ΔE ἐφάπτεται τοῦ $AB\Gamma$ κύκλου, τέμνει δὲ ἡ $\Delta\Gamma A$, τὸ ἄρα ὑπὸ τῶν $A\Delta$, $\Delta\Gamma$ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔE. ἦν δὲ καὶ τὸ ὑπὸ τῶν $A\Delta$, $\Delta\Gamma$ ἴσον τῷ ἀπὸ τῆς ΔB· τὸ ἄρα ἀπὸ τῆς ΔE ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΔB· ἴση ἄρα ἡ ΔE τῇ ΔB. ἐστὶ δὲ καὶ ἡ ZE τῇ ZB ἴση· δύο δὴ αἱ ΔE, EZ δύο ταῖς ΔB, BZ ἴσαι εἰσίν· καὶ βάσις αὐτῶν κοινὴ ἡ $Z\Delta$· γωνία ἄρα ἡ ὑπὸ ΔEZ γωνίᾳ τῇ ὑπὸ ΔBZ ἐστιν ἴση. ὀρθὴ δὲ ἡ ὑπὸ ΔEZ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΔBZ. καί ἐστιν ἡ ZB ἐκβαλλομένη διάμετρος· ἡ δὲ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγο-


---

1. τῆς] deleo; m. 2 V. ὅλ- in ras. m. 2 V. 2. τῆς] (prius) PF, V in ras., B m. rec.; om. p. 6. κύκλου] supra m. 1 F. 10. $A\Delta$] A F m. 1, V m. 1; Δ supra scr. FV m. 2. $\Delta\Gamma$] Γ P; corr. m. rec. 13. κέντρον] P, F m. 1, post ras. V; Z κέντρον Bp, F m. 2 (euan.). κύκλου] m. 2 V. καὶ ἔστω τὸ Z] PFV; om. Bp. 14. ὑπό] ἡ ὑπό V, del. ἡ m. 1. 15. ἐστι V. 17. ἦν δὲ καί] P; ὑπόκειται δέ Theon (BFVp).

comprehensum tota recta secanti et parte eius extrinsecus inter punctum et partem ambitus conuexam abscisa aequale est quadrato adcidentis, recta adcidens circulum continget.

nam extra circulum $AB\Gamma$ sumatur punctum Δ, et a Δ ad circulum $AB\Gamma$ adcidant duae rectae $\Delta\Gamma A$, ΔB, et $\Delta\Gamma A$ circulum secet, ΔB autem adcidat, et sit

$$A\Delta \times \Delta\Gamma = \Delta B^2.$$



dico, rectam ΔB circulum $AB\Gamma$ contingere.

ducatur enim circulum $AB\Gamma$ contingens ΔE [prop. XVII], et sumatur centrum circuli $AB\Gamma$, et sit Z, et ducantur ZE, ZB, $Z\Delta$. itaque $\angle ZE\Delta$ rectus est [prop. XVIII]. et quoniam ΔE circulum $AB\Gamma$ contingit, secat autem $\Delta\Gamma A$, erit $A\Delta \times \Delta\Gamma = \Delta E^2$ [prop. XXXVI]. erat autem etiam $A\Delta \times \Delta\Gamma = \Delta B^2$. itaque $\Delta E^2 = \Delta B^2$; quare $\Delta E = \Delta B$. uerum etiam $ZE = ZB$. itaque duae rectae ΔE, EZ duabus ΔB, BZ aequales sunt; et basis earum communis est $Z\Delta$. itaque $\angle \Delta EZ = \Delta BZ$ [I, 8]. uerum $\angle \Delta EZ$ rectus est. quare etiam $\angle \Delta BZ$ rectus; et ZB producta diametrus est; quae autem ad diametrum circuli in

---

19. ἄρα] δὲ ἄρα, del. δέ m. 1 F. 20. ἐστιν B. ZE] litt. Z in ras. F. 21. δυσί Vp. ΔB, BZ] corr. ex ΔE, EZ m. 2 F. εἰσί Vp. 22. ZΔ] litt. Δ in ras. m. 2 V. 23. ἴση ἐστίν V. 24. ZB] B, F post ras. 1 litt. (mg. m. 1: γρ. ἡ ΔZ); BZ P, et V corr. ex ZB m. 2; EZB in ras. p.

μένη ἐφάπτεται τοῦ κύκλου· ἡ ΔΒ ἄρα ἐφάπτεται τοῦ ΑΒΓ κύκλου. ὁμοίως δὴ δειχθήσεται, κἂν τὸ κέντρον ἐπὶ τῆς ΑΓ τυγχάνῃ.

Ἐὰν ἄρα κύκλου ληφθῇ τι σημεῖον ἐκτός, ἀπὸ δὲ τοῦ σημείου πρὸς τὸν κύκλον προσπίπτωσι δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν τέμνῃ τὸν κύκλον, ἡ δὲ προσπίπτῃ, ᾗ δὲ τὸ ὑπὸ ὅλης τῆς τεμνούσης καὶ τῆς ἐκτὸς ἀπολαμβανομένης μεταξὺ τοῦ τε σημείου καὶ τῆς κυρτῆς περιφερείας ἴσον τῷ ἀπὸ τῆς προσπιπτούσης, ἡ προσπίπτουσα ἐφάψεται τοῦ κύκλου· ὅπερ ἔδει δεῖξαι.

---

1. τοῦ] τοῦ ΑΒΓ Vp, F m. 2. τοῦ κύκλου· ἡ ΔΒ ἄρα ἐφάπτεται] mg. m. 1 B; item P, addito καί ante τοῦ. ἡ ΔΒ — 2. κύκλου] om. p; mg. m. 2 V. 2. δή] δέ V, corr. m. 2. 3. ΑΓ] Γ in ras. m. 1 B. τυγχάνει P, corr. m. 1. 4. ἀπὸ δὲ — 10. κύκλου] καὶ τὰ ἑξῆς PBFVp. 11. Εὐκλείδου στοιχείων γ̄ PB, Εὐκλείδου στοιχείων τῆς Θέωνος ἐκδόσεως γ̄ F.

termino perpendicularis ducta est, circulum contingit [prop. XVI πόρ.]. itaque ΔB circulum $AB\Gamma$ contingit. similiter demonstrabitur, etiam si centrum in $A\Gamma$ cadit.

Ergo si extra circulum punctum sumitur, et ab eo ad circulum adcidunt duae rectae, et altera harum circulum secat, altera adcidit tantum, et rectangulum comprehensum tota recta secanti et parte eius extrinsecus inter punctum et partem ambitus conuexam abscisa aequale est quadrato adcidentis, recta adcidens circulum continget; quod erat demonstrandum.

Ὅροι.

α'. Σχῆμα εὐθύγραμμον εἰς σχῆμα εὐθύγραμμον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη τῶν τοῦ ἐγγραφομένου σχήματος γωνιῶν ἑκάστης πλευρᾶς τοῦ, εἰς ὃ ἐγγράφεται, ἅπτηται.

β'. Σχῆμα δὲ ὁμοίως περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἑκάστης γωνίας τοῦ, περὶ ὃ περιγράφεται, ἅπτηται.

γ'. Σχῆμα εὐθύγραμμον εἰς κύκλον ἐγγράφεσθαι λέγεται, ὅταν ἑκάστη γωνία τοῦ ἐγγραφομένου ἅπτηται τῆς τοῦ κύκλου περιφερείας.

δ'. Σχῆμα δὲ εὐθύγραμμον περὶ κύκλον περιγράφεσθαι λέγεται, ὅταν ἑκάστη πλευρὰ τοῦ περιγραφομένου ἐφάπτηται τῆς τοῦ κύκλου περιφερείας.

ε'. Κύκλος δὲ εἰς σχῆμα ὁμοίως ἐγγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης πλευρᾶς τοῦ, εἰς ὃ ἐγγράφεται, ἅπτηται.

ς'. Κύκλος δὲ περὶ σχῆμα περιγράφεσθαι λέγεται, ὅταν ἡ τοῦ κύκλου περιφέρεια ἑκάστης γωνίας τοῦ, περὶ ὃ περιγράφεται, ἅπτηται.

---

1. ὅροι] om. BFp. Numeros om. PBF. 4. γωνιῶν] post ras. 1 litt. V. 8. περιγράφεται] inter ι et γ 2 litt.

IV.

Definitiones.

1. Figura rectilinea in figuram rectilineam inscribi dicitur, cum singuli anguli figurae inscriptae singula latera eius, in quam inscribitur, tangunt.

2. Similiter figura circum figuram circumscribi dicitur, cum singula latera circumscriptae singulos angulos eius, circum quam circumscribitur, tangunt.

3. Figura rectilinea in circulum inscribi dicitur, cum singuli anguli inscriptae ambitum circuli tangunt.

4. Figura autem rectilinea circum circulum circumscribi dicitur, cum singula latera circumscriptae ambitum circuli contingunt.

5. Similiter autem circulus in figuram inscribi dicitur, cum ambitus circuli singula latera eius, in quam inscribitur, tangit.

6. Circulus autem circum figuram circumscribi dicitur, cum ambitus circuli singulos angulos eius, circum quam circumscribitur, tangit.

Def. 1. Boetius p. 379, 19. 2. Boetius p. 379, 22.

---

eras. F. 11. *ἐπιγραφομένου* P. 15. *ἐφάπτηται*] Bp; *ἐφάπτεται* P; *ἅπτηται* FV. 17. *δέ*] *δὲ ὁμοίως* p. *ὁμοίως*] PB; om. p; *εὐθύγραμμον*, supra scr. *ὁμοίως* m. 2, FV. 20. *σχῆμα εὐθύγραμμον* FV.

ζ'. *Εὐθεῖα εἰς κύκλον ἐναρμόζεσθαι λέγεται, ὅταν τὰ πέρατα αὐτῆς ἐπὶ τῆς περιφερείας ᾖ τοῦ κύκλου.*

α'.

Εἰς τὸν δοθέντα κύκλον τῇ δοθείσῃ εὐθείᾳ μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ ΑΒΓ, ἡ δὲ δοθεῖσα εὐθεῖα μὴ μείζων τῆς τοῦ κύκλου διαμέτρου ἡ Δ. δεῖ δὴ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴσην εὐθεῖαν ἐναρμόσαι.

Ἤχθω τοῦ ΑΒΓ κύκλου διάμετρος ἡ ΒΓ. εἰ μὲν οὖν ἴση ἐστὶν ἡ ΒΓ τῇ Δ, γεγονὸς ἂν εἴη τὸ ἐπιταχθέν· ἐνήρμοσται γὰρ εἰς τὸν ΑΒΓ κύκλον τῇ Δ εὐθείᾳ ἴση ἡ ΒΓ. εἰ δὲ μείζων ἐστὶν ἡ ΒΓ τῆς Δ, κείσθω τῇ Δ ἴση ἡ ΓΕ, καὶ κέντρῳ τῷ Γ διαστήματι δὲ τῷ ΓΕ κύκλος γεγράφθω ὁ ΕΑΖ, καὶ ἐπεζεύχθω ἡ ΓΑ.

Ἐπεὶ οὖν τὸ Γ σημεῖον κέντρον ἐστὶ τοῦ ΕΑΖ κύκλου, ἴση ἐστὶν ἡ ΓΑ τῇ ΓΕ. ἀλλὰ τῇ Δ ἡ ΓΕ ἐστιν ἴση· καὶ ἡ Δ ἄρα τῇ ΓΑ ἐστιν ἴση.

Εἰς ἄρα τὸν δοθέντα κύκλον τὸν ΑΒΓ τῇ δοθείσῃ εὐθείᾳ τῇ Δ ἴση ἐνήρμοσται ἡ ΓΑ· ὅπερ ἔδει ποιῆσαι.

β'.

Εἰς τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

I. Boetius p. 388, 23. II. Boetius p. 388, 26.

---

1. *εἰς*] e corr. m. 2 P. *ἐναρμόζεσθαι*] *ἐν-* m. 2 V.
2. *ἐπὶ τῆς περιφερείας ᾖ τοῦ κύκλου*] PBp, V mg. m. rec.; *συμβάλλῃ τῇ τοῦ κύκλου περιφερείᾳ* F, V m. 1. 8. *μή*] *ἡ Δ*

7. Recta in circulum aptari dicitur, cum termini eius in ambitu circuli sunt.


I.

In datum circulum datae rectae non maiori, quam est diametrus circuli, aequalem rectam aptare.

Sit datus circulus $AB\Gamma$, data autem recta non maior diametro circuli sit Δ. oportet igitur in $AB\Gamma$ circulum rectae Δ aequalem rectam aptare.

ducatur circuli $AB\Gamma$ diametrus $B\Gamma$. iam si

$$B\Gamma = \Delta,$$



effectum erit, quod propositum est; nam in circulum $AB\Gamma$ rectae Δ aequalis aptata est $B\Gamma$. sin $B\Gamma > \Delta$, ponatur $\Gamma E = \Delta$, et centro Γ, radio autem ΓE circulus describatur EAZ, et ducatur ΓA.

iam quoniam Γ punctum centrum est circuli EAZ, erit $\Gamma A = \Gamma E$. sed $\Gamma E = \Delta$. quare etiam $\Delta = \Gamma A$.

Ergo in datum circulum $AB\Gamma$ datae rectae Δ aequalis aptata est ΓA; quod oportebat fieri.

II.

In datum circulum triangulum dato triangulo aequiangulum inscribere.

μὴ V. ἡ Δ] om. V; in F euan. 13. ἐνείρμοσται B. γάρ] supra m. 1 P. Δ] F; B φ. 14. δέ] P, Campanus; δὲ οὖ Theon (BFp; δ' οὖ V). 15. κείσθω] καὶ κείσθω Bp. κέντρῳ μέν BVp. 16. EAZ] PF; in ras. m. 2 V; AZ Bp. 18. EAZ] AEZ P. 19. τῇ Δ] PF, V m. 2; ἡ Δ Bp, V m. 1; Δ in ras. V. ἡ ΓE] PF, V m. 2; τῇ ΓE Bp, V m. 1; ΓE in ras. V. 20. Δ] seq. ras. 1 litt. F. ΓA] AΓ FV. ἴση ἐστίν F. 22. Post εὐθεία add. μὴ μείζονι οὔσῃ τῆς τοῦ κύκλου διαμέτρου Bp, m. 2 mg. FV. ἐνείρμοσται B.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ $AB\Gamma$, τὸ δὲ δοθὲν τριγωνον τὸ ΔEZ· δεῖ δὴ εἰς τὸν $AB\Gamma$ κύκλον τῷ ΔEZ τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγράψαι.

Ἤχθω τοῦ $AB\Gamma$ κύκλου ἐφαπτομένη ἡ $H\Theta$ κατὰ τὸ A, καὶ συνεστάτω πρὸς τῇ $A\Theta$ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ ὑπὸ ΔEZ γωνίᾳ ἴση ἡ ὑπὸ $\Theta A\Gamma$, πρὸς δὲ τῇ AH εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ A τῇ ὑπὸ ΔZE [γωνίᾳ] ἴση ἡ ὑπὸ HAB, καὶ ἐπεζεύχθω ἡ $B\Gamma$.

Ἐπεὶ οὖν κύκλου τοῦ $AB\Gamma$ ἐφάπτεταί τις εὐθεῖα ἡ $A\Theta$, καὶ ἀπὸ τῆς κατὰ τὸ A ἐπαφῆς εἰς τὸν κύκλον διῆκται εὐθεῖα ἡ $A\Gamma$, ἡ ἄρα ὑπὸ $\Theta A\Gamma$ ἴση ἐστὶ τῇ ἐν τῷ ἐναλλὰξ τοῦ κύκλου τμήματι γωνίᾳ τῇ ὑπὸ $AB\Gamma$. ἀλλ' ἡ ὑπὸ $\Theta A\Gamma$ τῇ ὑπὸ ΔEZ ἐστιν ἴση· καὶ ἡ ὑπὸ $AB\Gamma$ ἄρα γωνία τῇ ὑπὸ ΔEZ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ $A\Gamma B$ τῇ ὑπὸ ΔZE ἐστιν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ $BA\Gamma$ λοιπῇ τῇ ὑπὸ $E\Delta Z$ ἐστιν ἴση [ἰσογώνιον ἄρα ἐστὶ τὸ $AB\Gamma$ τρίγωνον τῷ ΔEZ τριγώνῳ, καὶ ἐγγέγραπται εἰς τὸν $AB\Gamma$ κύκλον].

Εἰς τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον ἐγγέγραπται· ὅπερ ἔδει ποιῆσαι.


γ΄.

Περὶ τὸν δοθέντα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

III. Boetius p. 388, 28.

1. δέ] m. rec. F. 3. ΔEZ] Z postea insert. m. 1 F. 4. $H\Theta$] P (H in ras.), F, V m. 1; $HA\Theta$ Bp, V m. 2. 5. πρός] πρὸς μέν Bp. $A\Theta$] $H\Theta$ F. 6. ΔEZ] Δ in ras. P. ὑπό] m. 2 F. 7. πρὸς δέ] πάλιν πρός P. AH] HA P. 8. γωνίᾳ] om. P. 10. ἅπτεται BV. 11. $A\Theta$] P; $HA\Theta$ F et V (H in ras.); ΘA Bp. καὶ ἀπό] ἀπὸ δέ Bp. κατὰ

Sit datus circulus $AB\Gamma$, datus autem triangulus ΔEZ. oportet igitur in $AB\Gamma$ circulum triangulo ΔEZ aequiangulum triangulum inscribere.



ducatur circulum $AB\Gamma$ in A contingens $H\Theta$ [III, 17], et ad $A\Theta$ rectam et punctum eius A angulo ΔEZ aequalis construatur $\angle \Theta A\Gamma$, et ad AH rectam et punctum eius A angulo ΔZE aequalis $\angle HAB$ [I, 23], et ducatur $B\Gamma$.

iam quoniam circulum $AB\Gamma$ contingit recta $A\Theta$, et ab A puncto contactus in circulum producta est recta $A\Gamma$, erit $\angle \Theta A\Gamma = AB\Gamma$, qui in alterno segmento positus est [III, 32]. sed $\angle \Theta A\Gamma = \Delta EZ$. quare etiam $\angle AB\Gamma = \Delta EZ$. eadem de causa etiam

$$\angle A\Gamma B = \Delta ZE.$$

itaque etiam $\angle BA\Gamma = E\Delta Z$ [I, 32]. itaque triangulus $AB\Gamma$ aequiangulus est triangulo ΔEZ, et in circulum $AB\Gamma$ inscriptus est.

Ergo in datum circulum dato triangulo aequiangulus triangulus inscriptus est; quod oportebat fieri.

III.

Circum datum circulum dato triangulo aequiangulum triangulum circumscribere.

τὸ A ἐπαφῆς εἰς τὸν κύκλον] ἀφῆς Bp. 12. εὐθεῖα] τις Bp. Post $\Theta A\Gamma$ in B ins. γωνία m. rec. 14. ἀλλά P. 15. ἄρα γωνία] in ras. m. 2 V; γωνία ἄρα F. ΔEZ] litt. ΔE in ras. m. 2 V. 16. διὰ τὰ αὐτά — 17. ἴση] mg. m. 1 F. 16. $A\Gamma B$] ΓB e corr. m. 1 p. ΔZE] E in ras. m. 2 V. 17. λοιπῇ] m. 2 V. $E\Delta Z$] E ins. m. 1 p; $\overset{\text{II}}{\Delta}\overset{\text{I}}{E}\overset{\text{III}}{Z}$ F. 18. ἴση ἐστίν BFp. ἰσογώνιον — 19. κύκλον] om. P. 21. ἰσόγωνον F; corr. m. 1. ποιῆσαι] δεῖξαι BV; ἐν ἄλλῳ· δεῖξαι m. 1 mg. F.

Ἔστω ὁ δοθεὶς κύκλος ὁ $AB\Gamma$, τὸ δὲ δοθὲν τρίγωνον τὸ ΔEZ· δεῖ δὴ περὶ τὸν $AB\Gamma$ κύκλον τῷ ΔEZ τριγώνῳ ἰσογώνιον τρίγωνον περιγράψαι.

Ἐκβεβλήσθω ἡ EZ ἐφ' ἑκάτερα τὰ μέρη κατὰ τὰ H, Θ σημεῖα, καὶ εἰλήφθω τοῦ $AB\Gamma$ κύκλου κέντρον τὸ K, καὶ διήχθω, ὡς ἔτυχεν, εὐθεῖα ἡ KB, καὶ συνεστάτω πρὸς τῇ KB εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ K τῇ μὲν ὑπὸ ΔEH γωνίᾳ ἴση ἡ ὑπὸ BKA, τῇ δὲ ὑπὸ $\Delta Z\Theta$ ἴση ἡ ὑπὸ $BK\Gamma$, καὶ διὰ τῶν A, B, Γ σημείων ἤχθωσαν ἐφαπτόμεναι τοῦ $AB\Gamma$ κύκλου αἱ ΛA, MBN, $N\Gamma\Lambda$.


Καὶ ἐπεὶ ἐφάπτονται τοῦ $AB\Gamma$ κύκλου αἱ ΛM, MN, $N\Lambda$ κατὰ τὰ A, B, Γ σημεῖα, ἀπὸ δὲ τοῦ K κέντρου ἐπὶ τὰ A, B, Γ σημεῖα ἐπεζευγμέναι εἰσὶν αἱ KA, KB, $K\Gamma$, ὀρθαὶ ἄρα εἰσὶν αἱ πρὸς τοῖς A, B, Γ σημείοις γωνίαι. καὶ ἐπεὶ τοῦ $AMBK$ τετραπλεύρου αἱ τέσσαρες γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσίν, ἐπειδήπερ καὶ εἰς δύο τρίγωνα διαιρεῖται τὸ $AMBK$, καί εἰσιν ὀρθαὶ αἱ ὑπὸ KAM, KBM γωνίαι, λοιπαὶ ἄρα αἱ ὑπὸ AKB, AMB δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. εἰσὶ δὲ καὶ αἱ ὑπὸ ΔEH, ΔEZ δυσὶν ὀρθαῖς ἴσαι· αἱ ἄρα ὑπὸ AKB, AMB ταῖς ὑπὸ ΔEH, ΔEZ ἴσαι εἰσίν, ὧν ἡ ὑπὸ AKB τῇ ὑπὸ ΔEH ἐστιν ἴση· λοιπὴ ἄρα ἡ ὑπὸ AMB λοιπῇ τῇ ὑπὸ ΔEZ ἐστιν ἴση. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἡ ὑπὸ ΛNB

---

1. δέ] om. p, supra F. 4. κατά] PBFp; ἐπί V. 5. *H*, *Θ*] in ras. P; *H* in ras. m. 2 V. 6. *KB*] *BK* F. 8. *BKA*] litt. *KA* in ras. m. 2 V. 9. ἴση] m. 2 V. 13. *MN*] *N* add. m. 2 post ras. V. *NΛ*] *Λ* add. m. 2 post ras. V. σημεῖα] supra F; om. Bp. ἀπὸ δὲ τοῦ — 14. σημεῖα] καί P. 14. ἐπεζευγμέναι] P; ἐπιζευγνύμεναι BFVp. 19. καὶ εἰσὶν ὀρθαί] P; τετράπλευρον, ὧν Theon (BFV; corr. ex τετράγωνον ὧν m. 1 p). αἱ] supra m. 1 P. *MAK* P.

Sit datus circulus $AB\Gamma$, datus autem triangulus ΔEZ; oportet igitur circum $AB\Gamma$ círculum triangulo ΔEZ aequiangulum triangulum circumscribere.

educatur EZ in utramque partem ad puncta H, Θ, et sumatur K centrum circuli $AB\Gamma$, et producatur utcunque recta KB, et ad rectam KB et punctum eius K angulo ΔEH aequalis construatur $\angle BKA$,



angulo autem $\Delta Z\Theta$ aequalis $\angle BK\Gamma$ [I, 23]. et per puncta A, B, Γ ducantur circulum $AB\Gamma$ contingentes ΛAM, MBN, $N\Gamma\Lambda$ [III, 17]. et quoniam ΛM, MN, $N\Lambda$ circulum $AB\Gamma$ contingunt in punctis A, B, Γ et a centro K ad puncta A, B, Γ ductae sunt KA, KB, $K\Gamma$, anguli ad A, B, Γ puncta positi recti sunt [III, 18]. et quoniam quadrilateri $AMBK$ quattuor anguli quattuor rectis aequales sunt, quoniam $AMBK$ in duos triangulos diuiditur [cfr. I, 32], et anguli KAM, KBM recti sunt, reliqui $AKB + AMB$ duobus rectis aequales sunt. uerum etiam $\Delta EH + \Delta EZ$ duobus rectis aequales sunt [I, 13]. itaque

$$AKB + AMB = \Delta EH + \Delta EZ,$$

quorum $\angle AKB = \Delta EH$. quare $\angle AMB = \Delta EZ$. similiter demonstrabimus, esse etiam $\angle ANB = \Delta ZE$.

γωνίαι] P; γωνίαι δύο ὀρθαί εἰσιν B et p (εἰσι); γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσιν F et V (δυσίν et εἰσι). λοιπαί — 20. εἰσίν] bis F. 20. εἰσιν ἴσαι p. 21. εἰσί] εἰσίν P. εἰσὶ δέ — ἴσαι] mg. m. 2 V. 23. ἴσαι εἰσίν, ὧν ἡ ὑπό] in ras. m. 1 B. 25. δή] δέ F (corr. m. 1), V (corr. m. 2). ANB] Bp; ΓNB P; ANM V (N corr. ex H); ANB F seq. spatio 2 litt.; Λ corr. m. 2 ex A.

τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση· καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ΜΛΝ [λοιπῇ] τῇ ὑπὸ ΕΔΖ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΛΜΝ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ· καὶ περιγέγραπται περὶ τὸν ΑΒΓ κύκλον.

Περὶ τὸν δοθέντα ἄρα κύκλον τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον περιγέγραπται· ὅπερ ἔδει ποιῆσαι.

δ΄.

Εἰς τὸ δοθὲν τρίγωνον κύκλον ἐγγράψαι.

Ἔστω τὸ δοθὲν τρίγωνον τὸ ΑΒΓ· δεῖ δὴ εἰς τὸ ΑΒΓ τρίγωνον κύκλον ἐγγράψαι.

Τετμήσθωσαν αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δίχα ταῖς ΒΔ, ΓΔ εὐθείαις, καὶ συμβαλλέτωσαν ἀλλήλαις κατὰ τὸ Δ σημεῖον, καὶ ἤχθωσαν ἀπὸ τοῦ Δ ἐπὶ τας ΑΒ, ΒΓ, ΓΑ εὐθείας κάθετοι αἱ ΔΕ, ΔΖ, ΔΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία τῇ ὑπὸ ΓΒΔ, ἐστὶ δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΒΕΔ ὀρθῇ τῇ ὑπὸ ΒΖΔ ἴση, δύο δὴ τρίγωνά ἐστι τὰ ΕΒΔ, ΖΒΔ τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν ὑποτείνουσαν ὑπὸ μίαν τῶν ἴσων γωνιῶν κοινὴν αὐτῶν τὴν ΒΔ· καὶ τὰς λοιπὰς ἄρα πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξουσιν· ἴση ἄρα ἡ ΔΕ τῇ ΔΖ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΔΗ τῇ ΔΖ ἐστιν ἴση. αἱ τρεῖς ἄρα εὐθεῖαι αἱ ΔΕ,

IV. Pappus VII p. 646, 7. Boetius p. 389, 1?

1. ΔΖΕ] ΔΕΖ F. 2. λοιπῇ] om. P; γωνία λοιπῇ FV. ΕΔΖ] ΔΕΖ F. ἐστίν P. 12. ΑΓΒ] PF, V m. 2; ΒΓΑ Bp, V m. 1. 13. συμβαλλέτωσαν] alt. λ supra m. 1 P. 15. ΓΑ] Α in ras. p, corr. ex Δ B. 16. ΑΒΔ] Β in ras. P. 17. ΓΒΔ] ΓΔΒ, corr. m. 2 in ΔΒΖ P. τέτμηται γὰρ δίχα mg. p. ἐστίν B. 18. ἐστι] ἐστιν P; εἰσι V. ΖΒΔ] PF, V m. 2 in ras.; ΔΒΖ Bp. 19. ταῖς] mg. m. 2 F; om. Bp.


quare etiam $\angle MAN = E\Delta Z$. itaque triangulus ΔMN triangulo ΔEZ aequiangulus est; et circum $AB\Gamma$ circulum circumscriptus est.

Ergo circum datum circulum dato triangulo aequiangulus triangulus circumscriptus est; quod oportebat fieri.

IV.

In datum triangulum circulum inscribere.

Sit datus triangulus $AB\Gamma$. oportet igitur in triangulum $AB\Gamma$ circulum inscribere.



secentur enim anguli $AB\Gamma$, $A\Gamma B$ in duas partes aequales rectis $B\Delta$, $\Gamma\Delta$ [I, 9], quae concurrant in Δ puncto [I αἴτ. 5], et a Δ ad rectas AB, $B\Gamma$, ΓA perpendiculares ducantur ΔE, ΔZ, ΔH. et quoniam

$$\angle AB\Delta = \Gamma B\Delta,$$

et $\angle BE\Delta = BZ\Delta$, quia recti sunt, duo trianguli $EB\Delta$, $ZB\Delta$ duos angulos duobus angulis aequales habent, et unum latus uni lateri aequale, quod sub altero aequalium angulorum subtendit commune utriusque $B\Delta$. itaque etiam reliqua latera reliquis lateribus aequalia habebunt [I, 26]. itaque $\Delta E = \Delta Z$. eadem de causa etiam $\Delta H = \Delta Z$.[1]) ergo tres rectae ΔE, ΔZ, ΔH inter se aequales sunt. itaque qui centro

1) Nam $\angle \Delta\Gamma H = \Delta\Gamma Z$, $\Delta H\Gamma = \Delta Z\Gamma$, $\Delta\Gamma = \Delta\Gamma$; tum u. I, 26.

ἔχοντες V, corr. m. 2. 20. τήν] om. Bp. 24. τῇ] seq. ras. 1 litt. B. Post ἴση add. Theon: ὥστε καὶ ἡ ΔΕ τῇ ΔΗ ἐστιν ἴση (BFp et om. ἐστιν V); om. P, Campanus. αἱ τρεῖς — 280, 1: ἀλλήλαις εἰσίν] om. p; mg. m. rec. B. εὐθεῖαι] om. V.

ΔZ, ΔH ἴσαι ἀλλήλαις εἰσίν· ὁ ἄρα κέντρῳ τῷ Δ καὶ διαστήματι ἑνὶ τῶν E, Z, H κύκλος γραφόμενος ἥξει καὶ διὰ τῶν λοιπῶν σημείων καὶ ἐφάψεται τῶν AB, BΓ, ΓA εὐθειῶν διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς E, Z, H σημείοις γωνίας. εἰ γὰρ τεμεῖ αὐτάς, ἔσται ἡ τῇ διαμέτρῳ τοῦ κύκλου πρὸς ὀρθὰς ἀπ' ἄκρας ἀγομένη ἐντὸς πίπτουσα τοῦ κύκλου· ὅπερ ἄτοπον ἐδείχθη· οὐκ ἄρα ὁ κέντρῳ τῷ Δ διαστήματι δὲ ἑνὶ τῶν E, Z, H γραφόμενος κύκλος τεμεῖ τὰς AB, BΓ, ΓA εὐθείας· ἐφάψεται ἄρα αὐτῶν, καὶ ἔσται ὁ κύκλος ἐγγεγραμμένος εἰς τὸ ABΓ τρίγωνον. ἐγγεγράφθω ὡς ὁ ZHE.

Εἰς ἄρα τὸ δοθὲν τρίγωνον τὸ ABΓ κύκλος ἐγγέγραπται ὁ EZH· ὅπερ ἔδει ποιῆσαι.

ε'.

